Spiritus et accentus notas, quae ab initio maxime versuum decidere solent, redintegres scribendo p. 18 v. 497 Ἑρμῇ; p. 48 v. 52 ἡμίθεοι; p. 102 ep. 3, 1 Ἐξ; p. 107 ep. 27, 1 Ἑλλάνων; p. 113 ep. 58, 1 Ὠγρευτής; p. 151 B. 1, 1 Ἄνθρωπος; p. 153 B. 3, 1 Ἄγροικος; p. 184 n. 6, 1 Ἡ; p. 188 fr. 2, 1 Ἄνδρ'; p. 218 Sc. 5, 1 Τγιαίνειν; p. 353 v. 19 Ὦ. Praeterea isdem signis reponendis corrige p. 5 v. 100 ἄνακτος; p. 32 v. 19 Τδρομεδούσῃ; p. 37 v. 144 λιγὺς; p. 45 v. 42 αἰπὺν; p. 84 n. 15, 1 ὀδόντων; p. 86 v. 11 τοὺς; p. 88 v. 19 μετὰ; p. 101, 11 ἔμμεναι; p. 185 n. 9, 22 ὑγρὸν; p. 277 v. 60 τοὺς; p. 280 v. 155 σὺ; p. 321 v. 882 πρὸς; p. 335 v. 1205 χρὴ; p. 361 v. 94 μὴ.

Asterisci appingendi sunt p. 7 v. 167 ab initio, p. 12 v. 313 ante ἐπέραινον, p. 15 v. 410 et 412 ante κέχυντο et post ῥεῖα, p. 31 v. 33 ante θάλπεν, p. 33 v. 48 voci ἐρέω, p. 148 v. 46 ab init., p. 190 fr. 4, 6 post γαλαθηνῷ, p. 233 v. 283 ante ἔφθισαν.

Restant quae corrigantur haec: p. 35 v. 88 lege κατέτριζε. — p. 39 v. 225 restitue ἐπιδών. — p. 52 v. 50 divide ἀεσίφρονα θυμόν. — p. 58 v. 99 corrige οἷ. — p. 69 l. 3 lege *ineunte* pro *medio fere*. — p. 87 l. 1 insere virgulam ante *rerum*. — p. 95 v. 212 legendum γάρ τοι, p. 100 n. 2, 5 οὔτ' ἂρ. — p. 103 ep. 5, 5 scribe εἰσάγετο. — p. 113 l. 7. 14 corrige *Ptolomaeo*. — p. 115 ep. 65, 3 scribe *καὶ. — p. 119 ep. 80, 2 lege αὐτονόμους pro ὑλονόμους. — p. 127 ep. 101, 6 corr. γλώσσῃ. — p. 131 ep. 177, 2 lege ὡς δὲ. — p. 154 B. 5, 6 legendum καμοῦσα. — p. 157 B. 11, 6 scribe τῶν τότ' pro τῷ τῶν. — ibid. 10 insere comma post αὐτήν. — p. 165 B. 19, 6 lege ἐλαφρὴν. — p. 172

Digitized by Google

l. 9 ab ima scribe *Rhodopim*. — p. 174 S. 2, 4 post *ὑπακούει* tolle interpunctionem. — p. 177 fr. 15 quantitatum signa haec: ⏑ – – ⏑ – ⏑ – ⏑ – – superscribenda sunt. — p. 184 n. 7, 3 restitue *ἀ βάρβ*. — p. 202 v. 45 scribe *οὐ μὰν*. — p. 211 v. 39 itemque in ind. p. 378 lege *βασίλεα* pro *βασιλέα*. — p. 215 v. 42 post *πάτερ* commate distingue. — p. 218 l. 7. 13 a summa et p. 219 l. 8 ab ima scribe *Σκολιὸν*. — p. 221 c. p. 5, 2 corr. *ὥρας*. — p. 224 l. 1 lege *perhibetur* pro *est*. — p. 231 v. 230 scribe *κεῖνα δ'*. — p. 261 v. 79 legendum *τί θ' ὑπέργηρως; φυλλ*. — p. 266 v. 179 corr. *ἀνθ'*. — p. 273 v. 387 loco asterisci insere † post *λάμπᾳ*. — p. 303 in inscript. muta *Ἱππῆς* in *Νεφέλαι*. — p. 353 v. 14 scribendum *αὐτῷ ἀπ'*. — p. 365 v. 51 corrige *κοῖτον*. — p. 412 l. 3 scribe *στομφάζειν*.

Digitized by Google

Poetae Epici.

I. Hymni Homerici.

Hymnos qui Homeri nomine feruntur (numero triginta quattuor) maximam partem composuisse videntur rhapsodi eo consilio, ut antequam ad carmina recitanda aggrederentur prooemiis deorum laudes praedicarent, quorum festis diebus musica certamina instituebantur. Quo in numero habendi non sunt quinque certe hymni priores, ut qui tam ambitu quam argumenti genere ad rhapsodias ipsas proxime accedant. Quorum primum, qui est in Apollinem Delium, vel Thucydides (cf. Thuc. III 104) ab Homero profectum esse censuit; praeter hunc maiores hymni Homerici exstant quattuor: in Apollinem Pythium, Mercurium, Venerem, Cererem.

1. [h. 3.]

ΕΙΣ ΕΡΜΗΝ.

Ἑρμῆν ὕμνει, Μοῦσα, Διὸς καὶ Μαιάδος υἱόν,
Κυλλήνης μεδέοντα καὶ Ἀρκαδίης πολυμήλου,
ἄγγελον ἀθανάτων ἐριούνιον, ὃν τέκε Μαῖα,
νύμφη ἐϋπλόκαμος, Διὸς ἐν φιλότητι μιγεῖσα,
αἰδοίη· μακάρων δὲ θεῶν ἠλεύαθ' ὅμιλον, 5
ἄντρον ἔσω ναίουσα παλίσκιον, ἔνθα Κρονίων
νύμφῃ ἐϋπλοκάμῳ μισγέσκετο νυκτὸς ἀμολγῷ,
ὄφρα κατὰ γλυκὺς ὕπνος ἔχοι λευκώλενον Ἥρην,
λήθων ἀθανάτους τε θεοὺς θνητούς τ' ἀνθρώπους.

Digitized by Google

ἀλλ' ὅτε δὴ μεγάλοιο Διὸς νόος ἐξετελεῖτο, 10
τῇ δ' ἤδη δέκατος μεὶς οὐρανῷ ἐστήρικτο,
[ἔς τε φόως ἄγαγεν, ἀρίσημά τε ἔργα τέτυκτο·]
καὶ τότ' ἐγείνατο παῖδα πολύτροπον, αἱμυλομήτην,
ληϊστῆρ', ἐλατῆρα βοῶν, ἡγήτορ' ὀνείρων,
νυκτὸς ὀπωπητῆρα, πυληδόκον, ὃς τάχ' ἔμελλεν 15
ἀμφανέειν κλυτὰ ἔργα μετ' ἀθανάτοισι θεοῖσιν·
[ἠῷος γεγονὼς μέσῳ ἤματι ἐγκιθάριζεν,
ἑσπέριος βοῦς κλέψεν ἑκηβόλου Ἀπόλλωνος,
τετράδι τῇ προτέρῃ, τῇ μιν τέκε πότνια Μαῖα.]
ὃς καί, ἐπειδὴ μητρὸς ἀπ' ἀθανάτων θόρε γυίων, 20
οὐκέτι δηρὸν ἔκειτο μένων ἱερῷ ἐνὶ λίκνῳ,
ἀλλ' ὅ γ' ἀναΐξας ζήτει βόας Ἀπόλλωνος,
οὐδὸν ὑπερβαίνων ὑψηρεφέος ἄντροιο.
ἔνθα χέλυν εὗρὼν ἐκτήσατο μυρίον ὄλβον·
[Ἑρμῆς τοι πρώτιστα χέλυν τεκτήνατ' ἀοιδόν·] 25
ἣ ῥά οἱ ἀντεβόλησεν ἐπ' αὐλείῃσι θύρῃσι,
βοσκομένη προπάροιθε δόμων ἐριθηλέα ποίην,
σαῦλα ποσὶν βαίνουσα· Διὸς δ' ἐριούνιος υἱός
ἀθρήσας ἐγέλασσε καὶ αὐτίκα μῦθον ἔειπε·
Σύμβολον ἤδη μοι μέγ' ὀνήσιμον· οὐκ ὀνοτάζω. 30
χαῖρε, φυὴν ἐρόεσσα, χοροίτυπε, δαιτὸς ἑταίρη,
ἀσπασίη προφανεῖσα· πόθεν τόδε, καλὸν ἄθυρμα,
αἰόλον ὄστρακον, ἐσσί, χέλυς ὄρεσι ζώουσα;
ἀλλ' οἴσω σ' εἰς δῶμα λαβών· ὄφελός τί μοι ἔσσῃ,
οὐδ' ἀποτιμήσω· σὺ δέ με πρώτιστον ὀνήσεις. 35
[οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφιν.]
ἦ γὰρ ἐπηλυσίης πολυπήμονος ἔσσεαι ἔχμα
ζώουσ'· ἢν δὲ θάνῃς, τότε κεν μάλα καλὸν ἀείδοις.
Ὣς ἄρ' ἔφη, καὶ χερσὶν ἅμ' ἀμφοτέρῃσιν ἀείρας,

Digitized by Google

ἄψ εἴσω κίε δῶμα φέρων ἐρατεινὸν ἄθυρμα. 40
ἔνθ' ἀναπιλήσας γλυφάνῳ πολιοῖο σιδήρου
αἰῶν' ἐξετόρησεν ὀρεσκῴοιο χελώνης.
ὡς δ' ὁπότ' ὠκὺ νόημα διὰ στέρνοιο περήσῃ
ἀνέρος, ὅν τε θαμειαὶ ἐπιστρωφῶσι μέριμναι,
αἱ δέ τε δινηθῶσιν ἀπ' ὀφθαλμῶν ἀμαρυγαί, 45
ὣς ἅμ' ἔπος τε καὶ ἔργον ἐμήδετο κύδιμος Ἑρμῆς.
πῆξε δ' ἄρ' ἐν μέτροισι ταμὼν δόνακας καλάμοιο,
πειρήνας διὰ νῶτα λιθορρίνοιο χελώνης.
ἀμφὶ δὲ δέρμα τάνυσσε βοὸς πραπίδεσσιν ἑῇσι,
καὶ πήχεις ἐνέθηκ', ἐπὶ δὲ ζυγὸν ἤραρεν ἀμφοῖν, 50
ἑπτὰ δὲ συμφώνους ὀΐων ἐτανύσσατο χορδάς.
αὐτὰρ ἐπειδὴ τεῦξε χεροῖν ἐρατεινὸν ἄθυρμα,
πλήκτρῳ ἐπειρήτιζε κατὰ μέρος· ἡ δ' ὑπὸ χειρός
σμερδαλέον κονάβησε· θεὸς δ' ὑπὸ καλὸν ἄειδεν,
ἐξ αὐτοσχεδίης πειρώμενος, ἠΰτε κοῦροι 55
ἡβηταὶ θαλίῃσι παραίβολα κερτομέουσιν,
ἀμφὶ Δία Κρονίδην καὶ Μαιάδα καλλιπέδιλον,
ὡς πάρος ὠρίζεσκον ἑταιρείῃ φιλότητι,
ἣν τ' αὐτοῦ γενεὴν ὀνομάκλυτον ἐξονομάζων,
ἀμφιπόλους τε γέραιρε καὶ ἀγλαὰ δώματα νύμφης 60
καὶ τρίποδας κατὰ οἶκον ἐπηετανούς τε λέβητας.
καὶ τὰ μὲν οὖν ἤειδε, τὰ δὲ φρεσὶν ἄλλα μενοίνα.
καὶ τὴν μὲν κατέθηκε φέρων ἱερῷ ἐνὶ λίκνῳ,
φόρμιγγα γλαφυρήν· ὁ δ' ἄρα κρειῶν ἐρατίζων
ἆλτο κατὰ σκοπιὴν. εὐώδεος ἐκ μεγάροιο, 65
ὁρμαίνων δόλον αἰπὺν ἐνὶ φρεσίν, οἷά τε φῶτες
φηλῆται διέπουσι μελαίνης νυκτὸς ἐν ὥρῃ.
Ἠέλιος μὲν ἔδυνε κατὰ χθονὸς Ὠκεανόνδε
αὐτοῖσίν θ' ἵπποισι καὶ ἅρμασιν· αὐτὰρ ἄρ' Ἑρμῆς

Digitized by Google

Πιερίης ἀφίκανε θέων ὄρεα σκιόεντα, 70
ἔνθα θεῶν μακάρων βόες ἄμβροτοι αὖλιν ἔχεσκον,
βοσκόμεναι λειμῶνας ἀκηρασίους ἐρατεινούς.
τῶν τότε Μαιάδος υἱός, ἐῦσκοπος Ἀργειφόντης,
πεντήκοντ' ἀγέλης ἀπετάμνετο βοῦς ἐριμύκους.
πλανοδίας δ' ἤλαυνε διὰ ψαμαθώδεα χῶρον, 75
ἴχνι' ἀποστρέψας· δολίης δ' οὐ λήθετο τέχνης·
[ἀντία ποιήσας ὁπλάς, τὰς πρόσθεν ὄπισθεν,
τὰς δ' ὄπιθεν πρόσθεν· κατὰ δ' ἔμπαλιν αὐτὸς ἔβαινε.
σάνδαλα δ' αὐτίκ' ἔριψεν ἐπὶ ψαμάθοις ἁλίῃσιν.]
ἄφραστ' ἠδ' ἀνόητα διέπλεκε θαυματὰ ἔργα, 80
συμμίσγων μυρίκας καὶ μυρσινοειδέας ὄζους.
τῶν τότε συνδήσας νεοθηλέος ἄγκαλον ὕλης,
ἀβλαβέως ὑπὸ ποσσὶν ἐδήσατο σάνδαλα κοῦφα
αὐτοῖσιν πετάλοισι, [τὰ κύδιμος Ἀργειφόντης
ἔσπασε Πιερίηθεν,] ὁδοιπορίην ἀλεείνων, 85
οἷά τ' ἐπειγόμενος δολιχὴν ὁδόν, * εὐτράπελος παῖς.
τὸν δὲ γέρων ἐνόησε δέμων ἀνθοῦσαν ἀλωήν,
ἱέμενον πεδίονδε δι' Ὀγχηστὸν λεχεποίην·
τὸν πρότερος προσέφη Μαίης ἐρικυδέος υἱός·
Ὦ γέρον, ὅς τε φυτὰ σκάπτεις ἐπικαμπύλος ὤμους, 90
ἦ πολυοινήσεις, εὖτ' ἂν τάδε πάντα φέρῃσι.
καί τε ἰδὼν μύων εἶναι καὶ κωφὸς ἀκούσας
καὶ σιγᾶν, ὅτε μή τι καταβλάπτῃ τὸ σὸν αὐτοῦ.
Τόσσον φὰς συνέσευε βοῶν ἴφθιμα κάρηνα.
πολλὰ δ' ὄρη σκιόεντα καὶ αὐλῶνας κελαδεινούς 95
καὶ πεδί' ἀνθεμόεντα διήλασε κύδιμος Ἑρμῆς.
ὀρφναίη δ' ἐπίκουρος ἐπαύετο δαιμονίη νύξ,
ἡ πλείων, τάχα δ' ὄρθρος ἐγίγνετο δημιοεργός·
ἡ δὲ νέον σκοπιὴν προσεβήσατο δῖα Σελήνη,

Digitized by Google

Πάλλαντος θυγάτηρ † Μεγαμηδείδαο ανακτος· 100
τῆμος ἐπ' Ἀλφειὸν ποταμὸν Διὸς ἄλκιμος υἱός
Φοίβου Ἀπόλλωνος βοῦς ἤλασεν εὐρυμετώπους.
ἀκμῆτες δ' ἵκανον ἐπ' αὔλιον ὑψιμέλαθρον
καὶ ληνοὺς προπάροιθεν ἀριπρεπέος λειμῶνος.
ἔνθ' ἐπεὶ εὖ βοτάνης ἐπεφόρβει βοῦς ἐριμύκους, 105
καὶ τὰς μὲν συνέλασσεν ἐς αὔλιον ἀρδευθείσας,
λωτὸν ἐρεπτομένας ἠδ' ἑρσήεντα κύπειρον·
σὺν δ' ἐφόρει ξύλα πολλά, πυρὸς δ' ἐπεμαίετο τέχνην·
δάφνης ἀγλαὸν ὄζον ἑλὼν ἐπέλεψε σιδήρῳ
ἄρμενον ἐν παλάμῃς· ἄμπνυτο δὲ θερμὸς ἀϋτμή· 110
[*Ἑρμῆς τοι πρώτιστα πυρήϊα πῦρ τ' ἀνέδωκε.*]
πολλὰ δὲ κάγκανα κᾶλα κατουδαίῳ ἐνὶ βόθρῳ
οὖλα λαβὼν ἐπέθηκεν ἐπηετανά· λάμπετο δὲ φλόξ
τηλόσε φῦσαν ἱεῖσα πυρὸς μέγα δαιομένοιο.
ὄφρα δὲ πῦρ ἀνέκαιε βίῃ κλυτοῦ Ἡφαίστοιο, 115
τόφρα δ' ἐριβρύχους ἕλικας βοῦς εἷλκε θύραζε
δοιὰς ἄγχι πυρός, δύναμις δέ οἱ ἕσπετο πολλή·
ἀμφοτέρας δ' ἐπὶ νῶτα χαμαὶ βάλε φυσιοώσας·
† ἐγκλίνων δ' ἐκύλινδε, δι' αἰῶνάς τε τορήσας
ἔργῳ ἔργον ὄπαζε, ταμὼν κρέα πίονα δημῷ· 120
ὤπτα δ' ἀμφ' ὀβελοῖσι πεπαρμένα δουρατέοισι
σάρκας ὁμοῦ καὶ νῶτα γεράσμια καὶ μέλαν αἷμα
ἐρμένον ἐν χολάδεσσι· τὰ δ' αὐτοῦ κεῖτ' ἐπὶ χώρης.
οἰνοὺς δ' ἐξετάνυσσε καταστυφέλῳ ἐπὶ πέτρῃ,
† ὡς ἔτι νῦν τὰ μέταζε πολυχρόνιοι πεφύασι, 125
δηρὸν δὴ μετὰ ταῦτα καὶ ἄκριτον. αὐτὰρ ἔπειτα
Ἑρμῆς χαρμόφρων εἰρύσατο πίονα ἔργα
λείῳ ἐπὶ πλαταμῶνι καὶ ἔσχισε δώδεκα μοίρας
κληροπαλεῖς, τέλεσν δὲ γέρας προσέθηκεν ἑκάστῃ.

Digitized by Google

ἔνθ' ὁσίης κρεάων ἠράσσατο κύδιμος Ἑρμῆς· 130
ὀδμὴ γάρ μιν ἔτειρε καὶ ἀθάνατόν περ ἐόντα
ἡδεῖ'· ἀλλ' οὐδ' ὥς οἱ ἐπείθετο θυμὸς ἀγήνωρ,
καί τε μάλ' ἱμείροντι, περᾶν ἱερῆς κατὰ δειρῆς.
ἀλλὰ τὰ μὲν κατέθηκεν ἐς αὔλιον ὑψιμέλαθρον,
δημὸν καὶ κρέα πολλά, μετήορα δ' αἶψ' ἀνάειρε, 135
σῆμα νέης φωρῆς· ἐπὶ δὲ ξύλα κάγκαν' ἀγείρας
οὐλόποδ', οὐλοκάρηνα πυρὸς κατεδάμνατ' ἀϋτμῇ.
αὐτὰρ ἐπεί τοι πάντα κατὰ χρέος ἤνυσε δαίμων,
σάνδαλα μὲν προέηκεν ἐς Ἀλφειὸν βαθυδίνην·
ἀνθρακιὴν δ' ἐμάρανε, κόνιν δ' ἀμάθυνε μέλαιναν 140
πάντεχνος· καλὸν δὲ φόως ἐπέλαμπε Σελήνης.
Κυλλήνης δ' αἶψ' αὖτις ἀφίκετο δῖα κάρηνα
ὄρθριος, οὐδέ τίς οἱ δολιχῆς ὁδοῦ ἀντεβόλησεν
οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων,
[οὐδὲ κύνες λελάκοντο· Διὸς δ' ἐριούνιος Ἑρμῆς 145
δθμωθεὶς μεγάροιο διὰ κληΐθρου ἔδυνεν,
αὔρῃ ὀπωρινῇ ἐναλίγκιος, ἠΰτ' ὀμίχλη.]
ἰθύσας δ' ἄντρου ἐξίκετο πίονα νηόν,
ἦκα ποσὶ προβιβῶν· οὐ γὰρ κτύπεν, ὥσπερ ἐπ' οὔδει.
ἐσσυμένως δ' ἄρα λίκνον ἐπῴχετο κύδιμος Ἑρμῆς· 150
σπάργανα δ' ἀμφ' ὤμοις εἰλυμένος, ἠΰτε τέκνον
νήπιον, ἐν παλάμῃσι * περ' ἰγνύσι λαίφεα σύρων,
κεῖτο, χέλυν ἐρατὴν ἐπ' ἀριστερὰ χειρὸς ἐέργων.
μητέρα δ' οὐκ ἄρ' ἔληθε θεὰν θεός, εἶπέ τε μῦθον·
Τίπτε σύ, ποικιλομῆτα, πόθεν τόδε νυκτὸς ἐν ὥρῃ 155
ἔρχῃ, ἀναιδείην ἐπιειμένε; νῦν σε μάλ' οἴω
ἢ τάχ' ἀμήχανα δεσμὰ περὶ πλευρῇσιν ἔχοντα
Λητοΐδου ὑπὸ χερσὶ διὲκ προθύροιο περήσειν,
* ἢ σὲ λαθόντα μεταξὺ κατ' ἄγκεα φηλητεύσειν.

Digitized by Google

ἔρρε, τάλαν· μεγάλην σε πατὴρ ἐφύτευσε μέριμναν 160
θνητοῖς ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσι.
Τὴν δ' Ἑρμῆς μύθοισιν ἀμείβετο κερδαλέοισι·
Μῆτερ ἐμή, τί με ταῦτα δεδίσκεαι, ἠΰτε τέκνον
νήπιον, ὃς μάλα παῦρα μετὰ φρεσὶν αἴσυλα οἶδε,
ταρβαλέον, καὶ μητρὸς ὑπαιδείδοικεν ἐνιπάς; 165
αὐτὰρ ἐγὼ τέχνης ἐπιβήσομαι, ἥ τις ἀρίστη,
κηδεύων ἐμὲ καὶ σὲ διαμπερές· οὐδὲ θεοῖσι
νῶϊ μετ' ἀθανάτοισιν ἀδώρητοι καὶ ἄλιστοι,
αὐτοῦ τῇδε μένοντες ἀνεξόμεθ', ὡς σὺ κελεύεις.
βέλτερον ἤματα πάντα μετ' ἀθανάτοις ὀαρίζειν, 170
πλούσιον, ἀφνειόν, πολυλήϊον, ἢ κατὰ δῶμα
ἄντρῳ ἐν ἠερόεντι θαασσέμεν· ἀμφὶ δὲ τιμῇ,
κἀγὼ τῆς ὁσίης ἐπιβήσομαι, ἧς περ Ἀπόλλων.
εἰ δέ κε μὴ δώῃσι πατὴρ ἐμός, ἤτοι ἔγωγε
πειρήσω, δύναμαι, φηλητέων ὄρχαμος εἶναι. 175
εἰ δέ μ' ἐρευνήσει Λητοῦς ἐρικυδέος υἱός,
ἄλλο τί οἱ καὶ μεῖζον ὀΐομαι ἀντιβολήσειν.
εἶμι γὰρ ἐς Πυθῶνα, μέγαν δόμον ἀντιτορήσων·
ἔνθεν ἅλις τρίποδας περικαλλέας ἠδὲ λέβητας
πορθήσω καὶ χρυσὸν ἅλις τ' αἴθωνα σίδηρον 180
καὶ πολλὴν ἐσθῆτα· σὺ δ' ὄψεαι, αἴ κ' ἐθέλῃσθα.
Ὣς οἱ μέν ῥ' ἐπέεσσι πρὸς ἀλλήλους ἀγόρευον,
υἱός τ' αἰγιόχοιο Διὸς καὶ πότνια Μαῖα.
Ἠὼς δ' ἠριγένεια φόως θνητοῖσι φέρουσα
ὤρνυτ' ἀπ' Ὠκεανοῖο βαθυρρόου· αὐτὰρ Ἀπόλλων 185
Ὀγχηστόνδ' ἀφίκανε κιών, πολυήρατον ἄλσος
ἁγνὸν ἐρισφαράγου Γαιηόχου· ἔνθα γέροντα
* ὁκλαδὸν εὗρε νέμοντα παρὲξ ὁδοῦ ἕρκος ἀλωῆς·
τὸν πρότερος προσέφη Λητοῦς ἐρικυδέος υἱός·

Digitized by Google

Ὦ γέρον, Ὀγχηστοῖο βατοδρόπε ποιήεντος, 190
βοῦς ἀπὸ Πιερίης διζήμενος ἐνθάδ' ἱκάνω,
πάσας θηλείας, πάσας κεράεσσιν ἑλικτάς,
ἐξ ἀγέλης· ὁ δὲ ταῦρος ἐβόσκετο μοῦνος ἀπ' ἄλλων
κυάνεος· χαροποὶ δὲ κύνες κατόπισθεν ἕποντο
τέσσαρες, ἠΰτε φῶτες, ὁμόφρονες· οἱ μὲν ἔλειφθεν, 195
[οἵ τε κύνες ὅ τε ταῦρος· ὃ δὴ περὶ θαῦμα τέτυκται·]
ταὶ δ' ἔβαν ἠελίοιο νέον καταδυομένοιο
ἐκ μαλακοῦ λειμῶνος, ἀπὸ γλυκεροῖο νομοῖο.
ταῦτά μοι εἰπέ, γεραιὲ παλαιγενές, εἴ που ὄπωπας
ἀνέρα ταῖσδ' ἐπὶ βουσὶ διαπρήσσοντα κέλευθον. 200

Τὸν δ' ὁ γέρων μύθοισιν ἀμειβόμενος προσέειπεν·
Ὦ φίλος, ἀργαλέον μέν, ὅσ' ὀφθαλμοῖσιν ἴδοιτο,
πάντα λέγειν· πολλοὶ γὰρ ὁδὸν πρήσσουσιν ὁδῖται,
τῶν οἱ μὲν κακὰ πολλὰ μεμαότες, οἱ δὲ μάλ' ἐσθλά
φοιτῶσιν· χαλεπὸν δὲ δαήμεναί ἐστιν ἕκαστον. 205
αὐτὰρ ἐγὼ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
ἔσκαπτον περὶ γουνὸν ἀλωῆς οἰνοπέδοιο·
παῖδα δ' ἔδοξα, φέριστε, σαφὲς δ' οὐκ οἶδα, νοῆσαι,
ὅς τις ὁ παῖς ἅμα βουσὶν ἐϋκραίρῃσιν ὀπήδει
νήπιος· εἶχε δὲ ῥάβδον, ἐπιστροφάδην δ' ἐβάδιζεν. 210
ἐξοπίσω δ' ἀνέεργε, κάρη δ' ἔχον ἀντίον αὐτῷ.

Φῆ ῥ' ὁ γέρων· ὁ δὲ θᾶσσον ὁδὸν κίε Φοῖβος Ἀπόλλων·
οἰωνὸν δ' ἐνόει τανυσίπτερον, αὐτίκα δ' ἔγνω
φηλήτην γεγαῶτα Διὸς παῖδα Κρονίωνος.
ἐσσυμένως δ' ἤϊξεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων 215
ἐς Πύλον ἠγαθέην διζήμενος εἰλίποδας βοῦς,
πορφυρέῃ νεφέλῃ κεκαλυμμένος εὐρέας ὤμους·
ἴχνιά τ' εἰσενόησεν Ἑκηβόλος εἶπέ τε μῦθον·
Ὦ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·

Digitized by Google

ἴχνια μὲν τάδε γ' ἐστὶ βοῶν ὀρθοκραιράων, 220
ἀλλὰ πάλιν τέτραπται ἐς ἀσφοδελὸν λειμῶνα·
βήματα δ' οὔτ' ἀνδρὸς τάδε γίνεται οὔτε γυναικός
οὔτε λύκων πολιῶν οὔτ' ἄρκτων οὔτε λεόντων,
οὔτε τι κενταύρου λασιαύχενός ἐστιν ὁμοῖα,
ὅς τις τοῖα πέλωρα βιβᾷ ποσὶ καρπαλίμοισιν, 225
αἰνὰ μὲν ἔνθεν ὁδοῖο, τὰ δ' αἰνότερ' ἔνθεν ὁδοῖο.
Ὣς εἰπὼν ἤϊξεν ἄναξ Διὸς υἱὸς Ἀπόλλων·
Κυλλήνης δ' ἀφίκανεν ὄρος καταειμένον ὕλῃ,
πέτρης εἰς κευθμῶνα βαθύσκιον, ἔνθα τε νύμφη
ἀμβροσίη ἐλόχευσε Διὸς παῖδα Κρονίωνος. 230
ὀδμὴ δ' ἱμερόεσσα δι' οὔρεος ἠγαθέοιο
κίδνατο, πολλὰ δὲ μῆλα ταναύποδα βόσκετο ποίην.
ἔνθα τότε σπεύδων κατεβήσατο λάϊνον οὐδόν
ἄντρον ἐς ἠερόεν ἑκατηβόλος ἁγνὸς Ἀπόλλων.
τὸν δ' ὡς οὖν ἐνόησε Διὸς καὶ Μαιάδος υἱός 235
χωόμενον περὶ βουσὶν ἑκηβόλον Ἀπόλλωνα,
σπάργαν' ἔσω κατέδυνε θυήεντ', ἠΰτε πολλὴν
πρέμνων ἀνθρακιὴν οὔλη σποδὸς ἀμφικαλύπτει·
ὣς Ἑρμῆς Ἑκάεργον ἰδὼν ἀλέεινεν ἐνιπήν.
ἐν δ' ὀλίγῳ ῥυνέλασσε κάρη χεῖράς τε πόδας τε, 240
φή ῥα νεόλλουτος, προκαλεύμενος ἥδυμον ὕπνον,
ἐγρήσσων ἑτεόν γε· χέλυν δ' ὑπὸ μασχάλῃ εἶχε.
γνῶ δ' οὐδ' ἠγνοίησε Διὸς καὶ Λητοῦς υἱός
νύμφην τ' οὐρείην περικαλλέα καὶ φίλον υἱόν,
παῖδ' ὀλίγον, δολίῃς εἰλυμένον ἐντροπίῃσι. 245
παπτήνας δ' ἄρα πάντα μυχὸν μεγάλοιο δόμοιο
τρεῖς ἀδύτους ἀνέῳγε, λαβὼν κληῖδα φαεινήν,
νέκταρος ἐμπλείους ἠδ' ἀμβροσίης ἐρατεινῆς·
πολλὸς δὲ χρυσός τε καὶ ἄργυρος ἔνδον ἔκειτο,

Digitized by Google

πολλὰ δὲ φοινικόεντα καὶ ἄργυφα εἵματα νύμφης, 250
οἷα θεῶν μακάρων ἱεροὶ δόμοι ἐντὸς ἔχουσιν·
ἔνθ' ἐπεὶ ἐξερέεινε μυχοὺς μεγάλοιο δόμοιο
Λητοΐδης, μύθοισι προσηύδα κύδιμον Ἑρμῆν·
Ὦ παῖ, ὃς ἐν λίκνῳ κατάκειαι, μήνυέ μοι βοῦς
θᾶσσον, ἐπεὶ τάχα νῶϊ διοισόμεθ' οὐ κατὰ κόσμον. 255
ῥίψω γάρ σε λαβὼν ἐς Τάρταρον ἠερόεντα,
ἐς ζόφον αἰνόμορον καὶ ἀμήχανον· οὐδέ σε μήτηρ
ἐς φάος οὐδὲ πατὴρ ἀναλύσεται, ἀλλ' ὑπὸ γαίῃ
ἐρρήσεις δολίοισιν ἐν ἀνδράσιν ἡγεμονεύων.
Τὸν δ' Ἑρμῆς μύθοισιν ἀμείβετο κερδαλέοισι· 260
Λητοΐδη, τίνα τοῦτον ἀπηνέα μῦθον ἔειπας;
ἦ βοῦς ἀγραύλους διζήμενος ἐνθάδ' ἱκάνεις;
οὐκ ἴδον, οὐ πυθόμην, οὐκ ἄλλου μῦθον ἄκουσα·
οὐκ ἂν μηνύσαιμ', οὐκ ἂν μήνυτρον ἀροίμην.
οὔτι βοῶν ἐλατῆρι, κραταιῷ φωτί, ἔοικα. 265
οὐκ ἐμὸν ἔργον τοῦτο, πάρος δέ μοι ἄλλα μέμηλεν·
ὕπνος ἔμοιγε μέμηλε καὶ ἡμετέρης γάλα μητρός,
σπάργανά τ' ἀμφ' ὤμοισιν ἔχειν καὶ θερμὰ λοετρά.
μή τις τοῦτο πύθοιτο, πόθεν τόδε νεῖκος ἐτύχθη·
καί κεν δὴ μέγα θαῦμα μετ' ἀθανάτοισι γένοιτο, 270
παῖδα νέον γεγαῶτα διὲκ προθύροιο περῆσαι
βουσὶν ἐπ' ἀγραύλοισι· τὸ δ' ἀπρεπέως ἀγορεύεις.
χθὲς γενόμην, ἁπαλοὶ δὲ πόδες, τρηχεῖα δ' ὑπὸ χθών.
εἰ δὲ θέλεις, πατρὸς κεφαλὴν μέγαν ὅρκον ὀμοῦμαι·
μὴ μὲν ἐγὼ μήτ' αὐτὸς ὑπίσχομαι αἴτιος εἶναι, 275
μήτε τιν' ἄλλον ὄπωπα βοῶν κλοπὸν ὑμετεράων,
αἵ τινες αἱ βόες εἰσί· τὸ δὲ κλέος οἷον ἀκούω.
Ὣς ἄρ' ἔφη, καὶ πυκνὸν ἀπὸ βλεφάρων ἀμαρύσσων
ὀφρῦς ῥιπτάζεσκεν, ὁρώμενος ἔνθα καὶ ἔνθα,

Digitized by Google

μάκρ' ἀποσυρίζων, ἅλιον τὸν μῦθον ὑλακτέων. 280
τὸν δ' ἁπαλὸν γελάσας προσέφη ἑκάεργος Ἀπόλλων·
Ὦ πέπον, ἠπεροπευτά, δολοφραδές, ἦ σε μάλ' οἴω
πολλάκις ἀντιτοροῦντα δόμους εὖ ναιετάοντας
ἔννυχον οὐχ ἕνα μοῦνον ἐπ' οὔδεϊ φῶτα καθίσσαι,
σκευάζοντα κατ' οἶκον ἄτερ ψόφου, οἷ' ἀγορεύεις· 285
πολλοὺς δ' ἀγραύλους ἀκαχήσεις μηλοβοτῆρας
οὔρεος ἐν βήσσῃς, ὁπόταν κρειῶν ἐρατίζων
ἀντήσῃς ἀγέλῃσι βοῶν καὶ πώεσι μήλων.
ἀλλ' ἄγε, μὴ πύματόν τε καὶ ὕστατον ὕπνον ἰαύσῃς,
ἐκ λίκνου κατάβαινε, μελαίνης νυκτὸς ἑταῖρε. 290
τοῦτο γὰρ οὖν καὶ ἔπειτα μετ' ἀθανάτοις γέρας ἕξεις,
ἀρχὸς φηλητέων κεκλήσεαι ἤματα πάντα.
Ὣς ἄρ' ἔφη καὶ παῖδα λαβὼν φέρε Φοῖβος Ἀπόλλων.
σὺν δ' ἄρα φρασσάμενος τότε δὴ κρατὺς Ἀργειφόντης
οἰωνὸν προέηκεν, ἀειρόμενος μετὰ χερσί, 295
τλήμονα γαστρὸς ἔριθον, ἀτάσθαλον ἀγγελιώτην·
ἐσσυμένως δὲ μετ' αὐτὸν ἐπέπταρε. τοῖο δ' Ἀπόλλων
ἔκλυεν, ἐκ χειρῶν δὲ χαμαὶ βάλε κύδιμον Ἑρμῆν.
ἕζετο δὲ προπάροιθε, καὶ ἐσσύμενός περ ὁδοῖο,
Ἑρμῆν κερτομέων, καί μιν πρὸς μῦθον ἔειπε· 300
Θάρσει, σπαργανιῶτα, Διὸς καὶ Μαιάδος υἱέ·
εὑρήσω καὶ ἔπειτα βοῶν ἴφθιμα κάρηνα
τούτοις οἰωνοῖσι· σὺ δ' αὖθ' ὁδὸν ἡγεμονεύσεις.
Ὣς φάτ'· ὁ δ' αὖτ' ἀνόρουσε θοῶς Κυλλήνιος Ἑρμῆς,
σπουδῇ ἰών· ἄμφω δὲ παρ' οὔατα χερσὶν ἐώθει 305
σπάργανον ἀμφ' ὤμοισιν ἐελμένον, εἶπε δὲ μῦθον·
Πῇ με φέρεις, Ἑκάεργε, θεῶν ζαμενέστατε πάντων;
ἦ με βοῶν ἕνεκ' ὧδε χολούμενος ὀρσολοπεύεις;
ὦ πόποι, εἴθ' ἀπόλοιτο βοῶν γένος· οὐ γὰρ ἔγωγε

Digitized by Google

ὑμετέρας ἔκλεψα βόας, οὐδ' ἄλλον ὄπωπα, 310
αἵ τινές εἰσι βόες· τὸ δὲ δὴ κλέος οἷον ἀκούω.
δὸς δὲ δίκην καὶ δέξο παρὰ Ζηνὶ Κρονίωνι.

Αὐτὰρ ἐπεὶ τὰ ἕκαστα διαρρήδην ἐπέραινον
Ἑρμῆς τ' οἰοπόλος καὶ Λητοῦς ἀγλαὸς υἱός,
ἀμφὶς θυμὸν ἔχοντες — ὁ μὲν νημερτέα φωνήν 315
ἐκδεδαὼς ἐπὶ βουσὶν ἐλάζυτο κύδιμον Ἑρμῆν,
αὐτὰρ ὁ τέχνῃσίν τε καὶ αἱμυλίοισι λόγοισιν
ἤθελεν ἐξαπατᾶν Κυλλήνιος Ἀργυρότοξον —
αὐτὰρ ἐπεὶ πολύμητις ἐὼν πολυμήχανον εὗρεν,
ἐσσυμένως δὴ ἔπειτα διὰ ψαμάθοιο βάδιζε 320
πρόσθεν, ἀτὰρ κατόπισθε Διὸς καὶ Λητοῦς υἱός.
αἶψα δ' ἵκοντο κάρηνα θυώδεος Οὐλύμποιο
ἐς πατέρα Κρονίωνα Διὸς περικαλλέα τέκνα·
κεῖθι γὰρ ἀμφοτέροισι δίκης κατέκειτο τάλαντα.
* εὐδίη δ' ἔχ' Ὄλυμπον ἀγάννιφον, ἀθάνατοι δέ 325
ἀθρόοι ἠγερέθοντο ποτὶ πτύχας Οὐλύμποιο.
ἔστησαν δ' Ἑρμῆς τε καὶ ἀργυρότοξος Ἀπόλλων
πρόσθε Διὸς γούνων· ὁ δ' ἀνείρετο φαίδιμον υἱόν
Ζεὺς ὑψιβρεμέτης καί μιν πρὸς μῦθον ἔειπε·

Φοῖβε, πόθεν ταύτην μενοεικέα ληΐδ' ἐλαύνεις, 330
παῖδα νέον γεγαῶτα, φυὴν κήρυκος ἔχοντα;
σπουδαῖον τόδε χρῆμα θεῶν μεθ' ὁμήγυριν ἦλθε.

Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·

Ὦ πάτερ, ἦ τάχα μῦθον ἄκούσεαι οὐκ ἀλαπαδνόν,
κερτομέων, ὡς οἶος ἐγὼ φιλοληΐος εἰμι. 335
παῖδά τιν' εὗρον τόνδε διαπρύσιον κεραϊστήν
Κυλλήνης ἐν ὄρεσσι, πολὺν διὰ χῶρον ἀνύσσας,
κέντρων', οἷον ἔγωγε θεῶν οὐκ ἄλλον ὄπωπα,
οὐδ' ἀνδρῶν, ὁπόσοι λησίμβροτοί εἰσ' ἐπὶ γαίῃ.

Digitized by Google

κλέψας δ' ἐκ λειμῶνος ἐμὰς βοῦς ᾤχετ' ἐλαύνων. 340
ἑσπέριος παρὰ θῖνα πολυφλοίσβοιο θαλάσσης,
εὐθὺ Πύλονδ' ἐλάων· τὰ δ' ἄρ' ἴχνια τοῖα πέλωρα,
οἷά τ' ἀγάσσασθαι, καὶ ἀγαυοῦ δαίμονος ἔργα.
τῇσιν μὲν γὰρ βουσὶν ἐς ἀσφοδελὸν λειμῶνα
ἀντία βήματ' ἔχουσα κόνις ἀνέφαινε μέλαινα· 345
αὐτὸς δ' οὗτος ἄϊκτος, ἀμήχανος, οὔτ' ἄρα ποσσίν
οὔτ' ἄρα χερσὶν ἔβαινε διὰ ψαμαθώδεα χῶρον·
ἀλλ' ἄλλην τινὰ μῆτιν ἔχων διέτριβε κέλευθα
τοῖα πέλωρ', ὡς εἴ τις ἀραιῇσι δρυσὶ βαίνοι.
ὄφρα μὲν οὖν ἐδίωκε διὰ ψαμαθώδεα χῶρον, 350
ῥεῖα μάλ' ἴχνια πάντα διέπρεπεν ἐν κονίῃσιν·
αὐτὰρ ἐπεὶ ψαμάθοιο μέγαν στίβον ἐξεπέρησεν,
ἄφραστος γένετ' ὦκα βοῶν στίβος ἠδὲ καὶ αὐτοῦ
χῶρον ἀνὰ κρατερόν· τὸν δ' ἐφράσατο βροτὸς ἀνήρ
ἐς Πύλον εὐθὺς ἐλῶντα βοῶν γένος εὐρυμετώπων. 355
αὐτὰρ ἐπειδὴ τὰς μὲν ἐν ἡσυχίῃ κατέερξε,
καὶ διαπυρπαλάμησεν ὁδοῖ τὸ μὲν ἔνθα, τὸ δ' ἔνθα,
ἐν λίκνῳ κατέκειτο μελαίνῃ νυκτὶ ἐοικώς,
ἄντρῳ ἐν ἠερόεντι κατὰ ζόφον· οὐδέ κεν αὐτόν
αἰετὸς ὀξὺ λάων ἐσκέψατο· πολλὰ δὲ χερσίν 360
αὐγὰς ὠμόργαζε, δολοφροσύνην ἀλεγύνων.
αὐτὸς δ' αὐτίκα μῦθον ἀπηλεγέως ἀγόρευεν·
οὐκ ἴδον, οὐ πυθόμην, οὐκ ἄλλου μῦθον ἄκουσα,
οὐδέ κε μηνύσαιμ', οὐδ' ἂν μήνυτρον ἀροίμην.
Ἤτοι ἄρ' ὣς εἰπὼν κατ' ἄρ' ἕζετο Φοῖβος Ἀπόλλων· 365
Ἑρμῆς δ' αὖθ' ἑτέρωθεν ἀμειβόμενος ἔπος ηὔδα,
δείξατο δ' ἐς Κρονίωνα, θεῶν σημάντορα πάντων·
Ζεῦ πάτερ, ἤτοι ἐγώ τοι ἀληθείην καταλέξω·
νημερτής τε γάρ εἰμι, καὶ οὐκ οἶδα ψεύδεσθαι.

Digitized by Google

ἦλθεν ἐς ἡμετέρου διζήμενος εἰλίποδας βοῦς 370
σήμερον ἠελίοιο νέον ἐπιτελλομένοιο·
οὐδὲ θεῶν μακάρων ἄγε μάρτυρας οὐδὲ κατόπτας.
μηνύειν δ' ἐκέλευεν ἀναγκαίης ὑπὸ πολλῆς,
πολλὰ δέ μ' ἠπείλησε βαλεῖν ἐς Τάρταρον εὐρύν,
οὕνεχ' ὁ μὲν τέρεν ἄνθος ἔχει φιλοκυδέος ἥβης, 375
αὐτὰρ ἐγὼ χθιζὸς γενόμην, τὰ δέ τ' οἶδε καὶ αὐτός,
οὔτι βοῶν ἐλατῆρι, κραταιῷ φωτί, ἐοικώς.
πείθεο, καὶ γὰρ ἐμεῖο πατὴρ φίλος εὔχεαι εἶναι,
[ὡς οὐκ οἶκαδ' ἔλασσα βόας, ὣς ὄλβιος εἴην,
οὐδ' ὑπὲρ οὐδὸν ἔβην· τὸ δέ τ' ἀτρεκέως ἀγορεύω. 380
Ἠέλιον δὲ μάλ' αἰδέομαι καὶ δαίμονας ἄλλους,
καὶ σὲ φιλῶ καὶ τοῦτον ὀπίζομαι· οἶσθα καὶ αὐτός,]
ὡς οὐκ αἴτιός εἰμι, μέγαν δ' ἐπιδώσομαι ὅρκον,
οὐ μὰ τάδ' ἀθανάτων εὐκόσμητα προθύραια.
καί που ἐγὼ τούτῳ τίσω ποτὲ νηλέα φώρην, 385
καὶ κρατερῷ περ ἐόντι· σὺ δ' ὁπλοτέροισιν ἄρηγε.
Ὣς φάτ' ἐπιλλίζων Κυλλήνιος Ἀργειφόντης,
καὶ τὸ σπάργανον εἶχεν ἐπ' ὠλένῃ οὐδ' ἀπέβαλλε.
Ζεὺς δὲ μέγ' ἐξεγέλασσεν ἰδὼν κακομηδέα παῖδα,
εὖ καὶ ἐπισταμένως ἀρνεύμενον ἀμφὶ βόεσσιν. 390
ἀμφοτέρους δ' ἐκέλευσεν ὁμόφρονα θυμὸν ἔχοντας
ζητεύειν, Ἑρμῆν δὲ διάκτορον ἡγεμονεύειν,
καὶ δεῖξαι τὸν χῶρον ἐπ' ἀβλαβίῃσι νόοιο,
ὅππῃ δὴ αὖτ' ἀπέκρυψε βοῶν ἴφθιμα κάρηνα.
νεῦσεν δὲ Κρονίδης, ἐπεπείθετο δ' ἀγλαὸς Ἑρμῆς· 395
ῥηϊδίως γὰρ ἔπειθε Διὸς νόος αἰγιόχοιο.
τὼ δ' ἄμφω σπεύδοντε, Διὸς περικαλλέα τέκνα,
ἐς Πύλον ἠμαθόεντα, ἐπ' Ἀλφειοῦ πόρον ἶξον·
ἀρδμοὺς δ' ἐξίκοντο καὶ αὔλιον ὑψιμέλαθρον,

Digitized by Google

ἠχί ῥά οἱ τἄγρευμ' ἀτιτάλλετο νυκτὸς ἐν ὥρῃ. 400
ἔνθ' Ἑρμῆς μὲν ἔπειτα, κιὼν παρὰ λάϊνον ἄντρον,
ἐς φῶς ἐξήλαυνε βοῶν ἴφθιμα κάρηνα·
Λητοΐδης δ' ἀπάτερθεν ἰδὼν ἐνόησε βοείας
πέτρῃ ἐπ' ἠλιβάτῳ, τάχα δ' ἤρετο κύδιμον Ἑρμῆν·
Πῶς ἐδύνω, δολομῆτα, δύω βόε δειροτομῆσαι, 405
ὧδε νεογνὸς ἐὼν καὶ νήπιος; αὐτὰρ ἔγωγε
δειμαίνω κατόπισθε τὸ σὸν κράτος, οὐδέ τί σε χρή
μακρὸν ἀέξεσθαι, Κυλλήνιε, Μαιάδος υἱέ.
Ὣς ἄρ' ἔφη, καὶ χερσὶ περίστρεφε καρτερὰ δεσμά
ἄγνου· ταὶ δ' ὑπὸ ποσσὶ κατὰ χθονὸς αἶψα κέχυντο 410
αὐτόθεν, ἐμβολάδην ἐστραμμέναι ἀλλήλῃσι,
ῥεῖα πέδαι πάσῃσιν ἐπ' ἀγραύλοισι βόεσσιν,
Ἑρμέω βουλῇσι κλεψίφρονος· αὐτὰρ Ἀπόλλων
θαύμασεν ἀθρήσας· τότε δὴ κρατὺς Ἀργειφόντης
χῶρον ὑποβλήδην ἐσκέψατο, πύκν' ἀμαρύσσων, 415
ἐγκρύψαι μεμαώς. Λητοῦς δ' ἐρικυδέος υἱόν
ῥεῖα μάλ' ἐπρήϋνεν ἑκηβόλον, ὡς ἔθελ' αὐτός,
καὶ κρατερόν περ ἐόντα· * χέλυν δ' ἐπ' ἀριστερὰ χειρὸς
πλήκτρῳ ἐπειρήτιζε κατὰ μέρος· ἡ δ' ὑπὸ χειρὸς
σμερδαλέον κονάβησε· γέλασσε δὲ Φοῖβος Ἀπόλλων 420
γηθήσας, ἐρατὴ δὲ διὰ φρένας ἤλυθ' ἰωή
θεσπεσίης ἐνοπῆς, καί μιν γλυκὺς ἵμερος ᾕρει
θυμῷ ἀκουάζοντα· λύρῃ δ' ἐρατὸν κιθαρίζων
στῆ ῥ' ὅ γε θαρσήσας ἐπ' ἀριστερὰ Μαιάδος υἱὸς
Φοίβου Ἀπόλλωνος· τάχα δὲ λιγέως κιθαρίζων 425
γηρύετ' ἀμβολάδην — ἐρατὴ δέ οἱ ἔσπετο φωνή —
οὐρανὸν ἀθανάτους τε θεοὺς καὶ γαῖαν ἐρεμνήν,
ὡς τὰ πρῶτα γένοντο καὶ ὡς λάχε μοῖραν ἕκαστος.
Μνημοσύνην μὲν πρῶτα θεῶν ἐγέραιρεν ἀοιδῇ,

Digitized by Google

μητέρα Μουσάων· ἡ γὰρ λάχε Μαιάδος υἱόν· 430
τοὺς δὲ κατὰ πρέσβιν τε καὶ ὡς γεγάασιν ἕκαστος
ἀθανάτους ἐγέραιρε θεοὺς Διὸς ἀγλαὸς υἱός,
πάντ' ἐνέπων κατὰ κόσμον, ἐπωλένιον κιθαρίζων.
τὸν δ' ἔρος ἐν στήθεσσιν ἀμήχανος αἴνυτο θυμόν,
καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα· 435
Βουφόνε, μηχανιῶτα, πονεύμενε, δαιτὸς ἑταῖρε,
πεντήκοντα βοῶν ἀντάξια ταῦτ' ἀνέφηνας.
ἡσυχίως καὶ ἔπειτα διακρινέεσθαι ὀΐω·
νῦν δ' ἄγε μοι τόδε εἰπέ, πολύτροπε Μαιάδος υἱέ,
ἦ σοί γ' ἐκ γενετῆς τάδ' ἅμ' ἕσπετο θαυματὰ ἔργα, 440
ἠέ τις ἀθανάτων ἠὲ θνητῶν ἀνθρώπων
δῶρον ἀγαυὸν ἔδωκε καὶ ἔφρασε θέσπιν ἀοιδήν;
θαυμασίην γὰρ τήνδε νεήφατον ὄσσαν ἀκούω,
ἣν οὐ πώποτέ φημι δαήμεναι οὔτε τιν' ἀνδρῶν,
οὔτε τιν' ἀθανάτων, οἳ Ὀλύμπια δώματ' ἔχουσι, 445
νόσφι σέθεν, φηλῆτα, Διὸς καὶ Μαιάδος υἱέ.
τίς τέχνη, τίς † μοῦσα ἀμηχανέων μελεδώνων,
τίς τρίβος; ἀτρεκέως γὰρ ἅμα τρία πάντα πάρεστιν,
εὐφροσύνην καὶ ἔρωτα καὶ ἡδυμον ὕπνον ἑλέσθαι.
καὶ γὰρ ἐγὼ Μούσῃσιν Ὀλυμπιάδεσσιν ὀπηδός, 450
τῇσι χοροί τε μέλουσι καὶ ἀγλαὸς οἶμος ἀοιδῆς
καὶ μολπὴ τεθαλυῖα καὶ ἱμερόεις βρόμος αὐλῶν·
ἀλλ' οὔπω τί μοι ὧδε μετὰ φρεσὶν ἄλλο μέλησεν,
οἷα νέων θαλίῃς ἐνδέξια ἔργα πέλονται.
θαυμάζω, Διὸς υἱέ, τάδ', ὡς ἐρατὸν κιθαρίζεις. 455
νῦν δ' ἐπεὶ οὖν ὀλίγος περ ἐὼν κλυτὰ μήδεα οἶδας,
ἶζε, πέπον, καὶ μῦθον ἐπαίνει πρεσβυτέροισι·
νῦν γάρ τοι κλέος ἔσται ἐν ἀθανάτοισι θεοῖσι,
σοί τ' αὐτῷ καὶ μητρί· τὸ δ' ἀτρεκέως ἀγορεύσω·

Digitized by Google

ναὶ μὰ τόδε κρανέϊνον ἀκόντιον, ἦ μὲν ἐγώ σε 460
κυδρὸν ἐν ἀθανάτοισι καὶ ὄλβιον * ἔμμεν ἐάσω,
δώσω τ' ἀγλαὰ δῶρα καὶ ἐς τέλος οὐκ ἀπατήσω.
Τὸν δ' Ἑρμῆς μύθοισιν ἀμείβετο κερδαλέοισιν·
Εἰρωτᾷς μ', Ἑκάεργε, περιφραδές· αὐτὰρ ἐγὼ σοί
τέχνης ἡμετέρης ἐπιβήμεναι οὔτι μεγαίρω. 465
σήμερον εἰδήσεις· ἐθέλω δέ τοι ἤπιος εἶναι
βουλῇ καὶ μύθοισι· σὺ δὲ φρεσὶ πάντ' εὖ οἶδας.
πρῶτος γάρ, Διὸς υἱέ, μετ' ἀθανάτοισι θαάσσεις,
ἠΰς τε κρατερός τε· φιλεῖ δέ σε μητίετα Ζεύς
ἐκ πάσης ὁσίης, ἔπορεν δέ τοι ἀγλαὰ δῶρα 470
καὶ τιμάς· σὲ δέ φασι θαήμεναι ἐκ Διὸς ὀμφῆς
μαντείας, Ἑκάεργε· Διὸς γὰρ θέσφατα πάντα·
καὶ νῦν αὐτὸς ἐγώ σε πανομφαῖον δεδάηκα.
σοὶ δ' αὐτάγρετόν ἐστι θαήμεναι, ὅττι μενοινᾷς.
ἀλλ' ἐπεὶ οὖν τοι θυμὸς ἐπιθύει κιθαρίζειν, 475
μέλπεο καὶ κιθάριζε καὶ ἀγλαΐας ἀλέγυνε
δέγμενος ἐξ ἐμέθεν — σὺ δέ μοι, φίλε, κῦδος ὄπαζε —
εὔμολπον μετὰ χερσὶν ἔχων λιγύφωνον ἑταίρην,
καλὰ καὶ εὖ κατὰ κόσμον ἐπισταμένην ἀγορεύειν.
εὔκηλος μὲν ἔπειτα φέρειν ἐς δαῖτα θάλειαν 480
καὶ χορὸν ἱμερόεντα καὶ ἐς φιλοκυδέα κῶμον,
εὐφροσύνην νυκτός τε καὶ ἤματος. ὃς γὰρ ἂν αὐτήν
τέχνῃ καὶ σοφίῃ δεδαημένος ἐξερεείνῃ,
φθεγγομένη παντοῖα νόῳ χαρίεντα διδάσκει,
ῥεῖα συνηθείῃσιν ἀθυρομένη μαλακῇσιν, 485
ἐργασίην θέλγουσα δυήπαθον· ὃς δέ κεν αὐτήν
νῆϊς ἐὼν τὸ πρῶτον ἐπιζωφελῶς ἐρεείνῃ,
μάψ αὖτως κεν ἔπειτα μετήορά τε θρυλλίζοι.
σοὶ δ' αὐτάγρετόν ἐστι θαήμεναι, ὅττι μενοινᾷς,

Digitized by Google

καί τοι ἐγὼ δώσω ταύτην, Διὸς ἀγλαὲ κοῦρε. 490
ἡμεῖς δ' αὖτ' ὄρεός τε καὶ ἱπποβότου πεδίοιο
βουσὶ νομούς, Ἑκάεργε, νομεύσομεν ἀγραύλοισιν·
ἔνθεν ἅλις τέξουσι βόες ταύροισι μιγεῖσαι
μίγδην θηλείας τε καὶ ἄρσενας, οὐδέ τί σε χρή
κερδαλέον περ ἐόντα περιζαμενῶς κεχολῶσθαι. 495
Ὣς εἰπὼν ὤρεξ'· ὁ δ' ἐδέξατο Φοῖβος Ἀπόλλων,
Ἑρμῇ δ' ἐγγυάλιξεν ἔχειν μάστιγα φαεινήν
βουκολίας τ' ἐπέτελλεν· ἔδεκτο δὲ Μαιάδος υἱός
γηθήσας. κίθαριν δὲ λαβὼν ἐπ' ἀριστερὰ χειρός
Λητοῦς ἀγλαὸς υἱός, ἄναξ ἑκάεργος Ἀπόλλων, 500
πλήκτρῳ ἐπειρήτιζε κατὰ μέρος· ἡ δ' ὑπὸ χειρός
ἱμερόεν κονάβησε· θεὸς δ' ὑπὸ καλὸν ἄειδεν.
ἔνθα βόας μὲν ἔπειτα ποτὶ ζάθεον λειμῶνα
ἐτραπέτην· αὐτοὶ δέ, Διὸς περιπαλλέα τέκνα,
ἄψορροι πρὸς Ὄλυμπον ἀγάννιφον ἐρρώσαντο, 505
τερπόμενοι φόρμιγγι· χάρη δ' ἄρα μητίετα Ζεύς.

* * *

2. [h. 4.]

ΕΙΣ ΑΦΡΟΔΙΤΗΝ.

Μοῦσά μοι ἔννεπε ἔργα πολυχρύσου Ἀφροδίτης,
Κύπριδος, ἥ τε θεοῖσιν ἐπὶ γλυκὺν ἵμερον ὤρσε,
καί τ' ἐδαμάσσατο φῦλα καταθνητῶν ἀνθρώπων
οἰωνούς τε διιπετέας καὶ θηρία πάντα,
ἠμὲν ὅσ' ἤπειρος πολλὰ τρέφει ἠδ' ὅσα πόντος· 5
πᾶσιν δ' ἔργα μέμηλεν ἐϋστεφάνου Κυθερείης.
τρισσὰς δ' οὐ δύναται πεπιθεῖν φρένας οὐδ' ἀπατῆσαι,
κούρην τ' αἰγιόχοιο Διός, γλαυκώπιδ' Ἀθήνην —
οὐ γάρ οἱ ἅδεν ἔργα πολυχρύσου Ἀφροδίτης,

Digitized by Google

ἀλλ' ἄρα οἱ πόλεμοί τε ἆδον καὶ ἔργον Ἄρηος 10
ὑσμῖναί τε μάχαι τε, καὶ ἀγλαὰ ἔργ' ἀλεγύνειν.
πρώτη τέκτονας ἄνδρας ἐπιχθονίους ἐδίδαξε
ποιῆσαι σατίνας τε καὶ ἅρματα ποικίλα χαλκῷ.
ἡ δέ τε παρθενικὰς ἁπαλόχροας ἐν μεγάροισιν
ἀγλαὰ ἔργ' ἐδίδαξεν ἐπὶ φρεσὶ θεῖσα ἑκάστῃ. 15
οὐδέ ποτ' Ἀρτέμιδα χρυσηλάκατον κελαδεινήν
δάμναται ἐν φιλότητι φιλομμειδὴς Ἀφροδίτη·
καὶ γὰρ τῇ ἆδε τόξα καὶ οὔρεσι θῆρας ἐναίρειν
φόρμιγγές τε χοροί τε διαπρύσιοί τ' ὀλολυγαί
ἄλσεά τε σκιόεντα δικαίων τε πτόλις ἀνδρῶν. 20
οὐδὲ μὲν αἰδοίῃ κούρῃ ἆδεν ἔργ' Ἀφροδίτης
Ἱστίῃ, ἣν πρώτην τέκετο Κρόνος ἀγκυλομήτης,
[αὖτις δ' ὁπλοτάτην, βουλῇ Διὸς αἰγιόχοιο,]
πότνιαν, ἣν ἐμνῶντο Ποσειδάων καὶ Ἀπόλλων·
ἡ δὲ μάλ' οὐκ ἔθελεν, ἀλλὰ στερεῶς ἀπέειπεν· 25
ὤμοσε δὲ μέγαν ὅρκον, ὃ δὴ τετελεσμένος ἐστίν,
ἁψαμένη κεφαλῆς πατρὸς Διὸς αἰγιόχοιο,
παρθένος ἔσσεσθαι πάντ' ἤματα, δῖα θεάων.
τῇ δὲ πατὴρ Ζεὺς δῶκε καλὸν γέρας ἀντὶ γάμοιο,
καί τε μέσῳ οἴκῳ κατ' ἄρ' ἕζετο πῖαρ ἑλοῦσα· 30
πᾶσιν δ' ἐν νηοῖσι θεῶν τιμάοχός ἐστι,
καὶ παρὰ πᾶσι βροτοῖσι θεῶν πρέσβειρα τέτυκται.
τάων οὐ δύναται πεπιθεῖν φρένας οὐδ' ἀπατῆσαι·
τῶν δ' ἄλλων οὔ πέρ τι πεφυγμένον ἔστ' Ἀφροδίτην
οὔτε θεῶν μακάρων οὔτε θνητῶν ἀνθρώπων. 35
καί τε παρὲκ Ζηνὸς νόον ἤγαγε τερπικεραύνου,
ὅς τε μέγιστός τ' ἐστὶ μεγίστης τ' ἔμμορε τιμῆς·
καί τε τοῦ, εὖτ' ἐθέλοι, πυκινὰς φρένας ἐξαπαφοῦσα
ῥηϊδίως συνέμιξε καταθνητῇσι γυναιξίν,

Digitized by Google

Ἥρης ἐκλελαθοῦσα, κασιγνήτης ἀλόχου τε, 40
ἣ μέγα εἶδος ἀρίστη ἐν ἀθανάτῃσι θεῇσι·
κυδίστην δ' ἥρα μιν τέκετο Κρόνος ἀγκυλομήτης
μήτηρ τε Ῥείη· Ζεὺς δ' ὕψιστα μήδεα εἰδώς
αἰδοίην ἄλοχον ποιήσατο κέδν' εἰδυῖαν.

Τῇ δὲ καὶ αὐτῇ Ζεὺς γλυκὺν ἵμερον ἔμβαλε θυμῷ 45
ἀνδρὶ καταθνητῷ μιχθήμεναι, ὄφρα τάχιστα
μηδ' αὐτὴ βροτέης εὐνῆς ἀπουεργμένη εἴη,
καί ποτ' ἐπευξαμένη εἴπῃ μετὰ πᾶσι θεοῖσιν,
ἡδὺ γελοιήσασα, φιλομμειδὴς Ἀφροδίτη,
ὥς ῥα θεοὺς συνέμιξε καταθνητῇσι γυναιξί, 50
καί τε καταθνητοὺς υἱεῖς τέκον ἀθανάτοισιν,
ὥς τε θεὰς συνέμιξε καταθνητοῖς ἀνθρώποις.
Ἀγχίσεω δ' ἄρα οἱ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ,
ὃς τότ' ἐν ἀκροπόλοις ὄρεσιν πολυπιδάκου Ἴδης
βουκολέεσκεν βοῦς, θέμας ἀθανάτοισιν ἐοικώς. 55
τὸν δὴ ἔπειτα ἰδοῦσα φιλομμειδὴς Ἀφροδίτη
ἠράσατ', ἐκπάγλως δὲ κατὰ φρένας ἵμερος εἷλεν.
ἐς Κύπρον δ' ἐλθοῦσα θυώδεα νηὸν ἔδυνεν·
[ἐς Πάφον, ἔνθα δέ οἱ τέμενος βωμός τε θυώδης.
ἔνθ' ἥ γ' εἰσελθοῦσα θύρας ἐπέθηκε φαεινάς.] 60
ἔνθα δέ μιν Χάριτες λοῦσαν καὶ χρῖσαν ἐλαίῳ
ἀμβρότῳ, οἷα θεοὺς ἐπενήνοθεν αἰὲν ἐόντας.
[ἀμβροσίῳ ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν.]
ἐσσαμένη δ' εὖ πάντα περὶ χροῖ εἵματα καλά,
χρυσῷ κοσμηθεῖσα φιλομμειδὴς Ἀφροδίτη 65
σεύατ' ἐπὶ Τροίην, προλιποῦσ' εὐώδεα Κύπρον,
ὕψι μετὰ νεφέεσσι θοῶς πρήσσουσα κέλευθον.
Ἴδην δ' ἵκανεν πολυπίδακα, μητέρα θηρῶν·
βῆ δ' ἰθὺς σταθμοῖο δι' οὔρεος. οἱ δὲ μετ' αὐτήν

Digitized by Google

σαίνοντες πολιοί τε λύκοι χαροποί τε λέοντες, 70
ἄρκτοι, παρδάλιές τε θοαὶ προκάδεσσι ἀμάρηκοι
ἦϊσαν· ἡ δ' ὁρόωσα μετὰ φρεσὶ τέρπετο θυμόν
καὶ τοῖς ἐν στήθεσσι βάλ' ἵμερον· οἱ δ' ἅμα πάντες
σύνδυο κοιμήσαντο κατὰ σκιόεντας ἐναύλους.
αὐτὴ δ' ἐς κλισίας εὐποιήτους ἀφίκανε· 75
τὸν δ' εὗρε σταθμοῖσι λελειμμένον οἶον ἀπ' ἄλλων
Ἀγχίσην ἥρωα, θεῶν ἄπο κάλλος ἔχοντα.
οἱ δ' ἅμα βουσὶν ἕποντο νομοὺς κατὰ ποιήεντας
πάντες· ὁ δὲ σταθμοῖσι λελειμμένος οἶος ἀπ' ἄλλων
κωλεῖτ' ἔνθα καὶ ἔνθα, διαπρύσιον κιθαρίζων. 80
στῆ δ' αὐτοῦ προπάροιθε Διὸς θυγάτηρ Ἀφροδίκη,
παρθένῳ ἀδμήτῃ μέγεθος καὶ εἶδος ὁμοίη,
μή μιν ταρβήσειεν ἐν ὀφθαλμοῖσι νοήσας.
Ἀγχίσης δ' ὁρόων ἐφράζετο θαύμαινέν τε
εἶδός τε μέγεθός τε καὶ εἵματα σιγαλόεντα. 85
πέπλον μὲν γὰρ ἔεστο φαεινότερον πυρὸς αὐγῆς,
εἶχε δ' ἐϋγνάμπτας ἕλικας κάλυκάς τε φαεινάς,
ὅρμοι δ' ἀμφ' ἁπαλῇ δειρῇ περικαλλέες ἦσαν,
καλοί, χρύσεοι, παμποίκιλοι, ὡς δὲ σελήνη
στήθεσιν ἀμφ' ἁπαλοῖσιν ἐλάμπετο, θαῦμα ἰδέσθαι. 90
Ἀγχίσην δ' ἔρος εἷλεν, ἔπος δέ μιν ἀντίον ηὔδα·
Χαῖρε, ἄνασσ', ἥ τις μακάρων τάδε δώμαθ' ἱκάνεις,
Ἄρτεμις ἢ Λητὼ ἠὲ χρυσέη Ἀφροδίτη,
[ἢ Θέμις ἠὐγενὴς ἠὲ γλαυκῶπις Ἀθήνη,]
ἤ πού τις Χαρίτων δεῦρ' ἤλυθες, αἵ τε θεοῖσι 95
πᾶσιν ἑταιρίζουσι καὶ ἀθάνατοι καλέονται,
ἤ τις Νυμφάων, αἵ τ' ἄλσεα καλὰ νέμονται
[ἢ Νυμφῶν, αἳ καλὸν ὄρος τόδε ναιετάουσι,]
καὶ πηγὰς ποταμῶν καὶ πίσεα ποιήεντα.

Digitized by Google

σοὶ δ' ἐγὼ ἐν σκοπιῇ, περιφαινομένῳ ἐνὶ χώρῳ, 100
βωμὸν ποιήσω, ῥέξω δέ τοι ἱερὰ καλά
ὥρῃσιν πάσῃσι· σὺ δ' εὔφρονα θυμὸν ἔχουσα
δός με μετὰ Τρώεσσιν ἀριπρεπέ' ἔμμεναι ἄνδρα,
ποίει δ' εἰσοπίσω θαλερὸν γόνον, αὐτὰρ ἔμ' αὐτόν
δηρὸν ἐῦ ζώειν καὶ ὁρᾶν φάος ἠελίοιο 105
ὄλβιον ἐν λαοῖς καὶ γήραος οὐδὸν ἱκέσθαι.

Τὸν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἀγχίση, κύδιστε χαμαιγενέων ἀνθρώπων,
οὔ τίς τοι θεός εἰμι· τί μ' ἀθανάτῃσιν ἐΐσκεις;
ἀλλὰ καταθνητή τε, γυνὴ δέ με γείνατο μήτηρ. 110
Ὀτρεὺς δ' ἐστὶ πατὴρ ὀνομάκλυτος, εἴ που ἀκούεις,
ὃς πάσης Φρυγίης εὐτειχήτοιο ἀνάσσει.
γλῶσσαν δ' ὑμετέρην τε καὶ ἡμετέρην σάφα οἶδα·
Τρῳὰς γὰρ μεγάρῳ με τροφὸς τρέφεν· ἡ δὲ διαπρό
σμικρὴν παῖδ' ἀτίταλλε, φίλης παρὰ μητρὸς ἐλοῦσα. 115
ὣς δ' ἤτοι γλῶσσάν γε καὶ ὑμετέρην εὖ οἶδα.
νῦν δέ μ' ἀνήρπαξε χρυσόρραπις Ἀργειφόντης
ἐκ χοροῦ Ἀρτέμιδος χρυσηλακάτου κελαδεινῆς·
πολλαὶ δὲ νύμφαι καὶ παρθένοι ἀλφεσίβοιαι
παίζομεν, ἀμφὶ δ' ὅμιλος ἀπείριτος ἐστεφάνωτο· 120
ἔνθεν μ' ἥρπαξε χρυσόρραπις Ἀργειφόντης.
πολλὰ δ' ἐπ' ἤγαγεν ἔργα καταθνητῶν ἀνθρώπων,
πολλὴν δ' ἄκληρόν τε καὶ ἄκτιτον, ἣν διὰ θῆρες
ὠμοφάγοι φοιτῶσι κατὰ σκιόεντας ἐναύλους·
οὐδὲ ποσὶ ψαύειν ἐδόκουν φυσιζόου αἴης. 125
Ἀγχίσεω δέ με φάσκε παραὶ λέχεσιν καλέεσθαι
κουριδίην ἄλοχον, σοὶ δ' ἀγλαὰ τέκνα † τεκεῖσθαι.
αὐτὰρ ἐπειδὴ δεῖξε καὶ ἔφρασεν, ἤτοι ὅ γ' αὖτις
ἀθανάτων μετὰ φῦλ' ἀπέβη κρατὺς Ἀργειφόντης·

Digitized by Google

αὐτὰρ ἐγώ σ' ἱκόμην, κρατερὴ δέ μοι ἔπλετ' ἀνάγκη. 130
ἀλλά σε πρὸς Ζηνὸς γουνάζομαι ἠδὲ τοκήων
ἐσθλῶν· οὐ μὲν γάρ κε κακοὶ τοιόνδε τέκοιεν·
ἀδμήτην μ' ἀγαγὼν καὶ ἀπειρήτην φιλότητος
πατρί τε σῷ δεῖξον καὶ μητέρι κέδν' εἰδυίῃ
σοῖς τε κασιγνήτοις, οἵ τοι ὁμόθεν γεγάασιν, 135
εἴ σφιν ἀεικελίη νυὸς ἔσσομαι ἠὲ καὶ οὐκί.
πέμψαι δ' ἄγγελον ὦκα μετὰ Φρύγας αἰολοπώλους
εἰπεῖν πατρί τ' ἐμῷ καὶ μητέρι κηδομένῃ περ·
οἱ δέ κέ τοι χρυσόν τε ἅλις ἐσθῆτά θ' ὑφαντήν
πέμψουσιν· σὺ δὲ πολλὰ καὶ ἀγλαὰ δέχθαι ἄποινα. 140
ταῦτα δὲ ποιήσας δαίνυ γάμον ἱμερόεντα,
τίμιον ἀνθρώποισι καὶ ἀθανάτοισι θεοῖσιν.
Ὣς εἰποῦσα θεὰ γλυκὺν ἵμερον ἔμβαλε θυμῷ·
Ἀγχίσην δ' ἔρος εἷλεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
Εἰ μὲν θνητή τ' ἐσσί, γυνὴ δέ σε γείνατο μήτηρ, 145
Ὀτρεὺς δ' ἐστὶ πατὴρ ὀνομάκλυτος, ὥς ἀγορεύεις,
ἀθανάτοιο δ' ἕκητι διακτόρου ἐνθάδ' ἱκάνεις
Ἑρμέω, ἐμὴ δ' ἄλοχος κεκλήσεαι ἤματα πάντα —
οὔ τις ἔπειτα θεῶν οὔτε θνητῶν ἀνθρώπων
ἐνθάδε με σχήσει, πρὶν σῇ φιλότητι μιγῆναι 150
αὐτίκα νῦν, οὐδ' εἴ κεν ἑκηβόλος αὐτὸς Ἀπόλλων
τόξου ἀπ' ἀργυρέου προΐῃ βέλεα στονόεντα.
βουλοίμην κεν ἔπειτα, γύναι εἰκυῖα θεῇσι,
σῆς εὐνῆς ἐπιβὰς δῦναι δόμον Ἄϊδος εἴσω.

(Omisi tredecim versus.)

Ἧμος δ' ἂψ εἰς αὖλιν ἀποκλίνουσι νομῆες
βοῦς τε καὶ ἴφια μῆλα νομῶν ἐξ ἀνθεμοέντων,
τῆμος ἄρ' Ἀγχίσῃ μὲν ἐπὶ γλυκὺν ὕπνον ἔχευε 170
νήδυμον, αὐτὴ δὲ χροῖ ἕννυτο εἵματα καλά.

Digitized by Google

ἐσσαμένη δ' εὖ πάντα περὶ χροῖ δῖα θεάων
στῆ ῥα παρὰ πλιδίῃ, εὐποιήτου δὲ μελάθρου
κῦρε κάρη· πάλλος δὲ παρειάων ἐπέλαμπεν
ἄμβροτον, οἷόν τ' ἐστὶν ἐϋστεφάνου Κυθερείης. 175
ἐξ ὕπνου τ' ἀνέγειρεν ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζεν·
Ὄρσεο, Δαρδανίδη· τί νυ νήγρετον ὕπνον ἰαύεις;
καὶ φράσαι, εἴ τοι ὁμοίη ἐγὼν ἰνδάλλομαι εἶναι,
οἵην δή με τὸ πρῶτον ἐν ὀφθαλμοῖσι νόησας.
Ὣς φάθ'· ὁ δ' ἐξ ὕπνοιο μάλ' ἐμμαπέως ὑπάκουσεν. 180
ὡς δὲ ἴδεν δειρήν τε καὶ ὄμματα κάλ' Ἀφροδίτης,
τάρβησέν τε καὶ ὄσσε παρακλιδὸν ἔτραπεν ἄλλῃ·
ἂψ δ' αὖτις χλαίνῃ τε καλύψατο καλὰ πρόσωπα,
καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Αὐτίκα σ' ὡς τὰ πρῶτα, θεά, ἴδον ὀφθαλμοῖσιν, 185
ἔγνων, ὡς θεὸς ἦσθα· σὺ δ' οὐ νημερτὲς ἔειπες.
ἀλλά σε πρὸς Ζηνὸς γουνάζομαι αἰγιόχοιο·
μή με ζῶντ' ἀμενηνὸν ἐν ἀνθρώποισιν ἐάσῃς
ναίειν, ἀλλ' ἐλέαιρ', ἐπεὶ οὐ βιοθάλμιος ἀνὴρ
γίγνεται, ὅς τε θεαῖς εὐνάζεται ἀθανάτῃσι. 190
Τὸν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἀγχίση, κύδιστε καταθνητῶν ἀνθρώπων,
θάρσει μηδέ τι σῇσι μετὰ φρεσὶ δείδιθι λύγρ·
οὐ γάρ τοί τι δέος παθέειν κακὸν ἔξ ἐμέθεν γε
οὐδ' ἄλλων μακάρων, ἐπεὶ ἦ φίλος ἐσσὶ θεοῖσι. 195
σοὶ δ' ἔσται φίλος υἱός, ὃς ἐν Τρώεσσιν ἀνάξει·
[καὶ παῖδες παίδεσσι διαμπερὲς ἐκγεγάονται·]
τῷ δὲ καὶ Αἰνείας ὄνομ' ἔσσεται, οὕνεκά μ' αἰνὸν
ἔσχεν ἄχος, ἕνεκα βροτοῦ ἀνέρος ἔμπεσον εὐνῇ.
ἀγχίθεοι δὲ μάλιστα καταθνητῶν ἀνθρώπων 200
αἰὲν ἀφ' ὑμετέρης γενεῆς εἶδός τε φυήν τε.

Digitized by Google

ἤτοι μὲν ξανθὸν Γανυμήδεα μητίετα Ζεύς
ἥρπασεν ὃν διὰ κάλλος, ἵν' ἀθανάτοισι μετείη,
καί τε Διὸς κατὰ δῶμα θεοῖς ἔνι οἰνοχοεύοι,
θαῦμα ἰδεῖν, πάντεσσι τεταμένος ἀθανάτοισι, 205
χρυσέου ἐκ κρητῆρος ἀφύσσων νέκταρ ἐρυθρόν.
Τρῶα δὲ πένθος ἄλαστον ἔχε φρένας, οὐδέ τι ᾔδει,
ὅππῃ οἱ φίλτον υἱὸν ἀνήρπασε θέσπις ἄελλα·
τὸν δὴ ἔπειτα γόασκε διαμπερὲς ἤματα πάντα.
καί μιν Ζεὺς ἐλέησε, δίδου δέ οἱ υἷος ἄποινα, 210
ἵππους ἀρσίποδας, τοί τ' ἀθανάτους φορέουσι·
τούς οἱ δῶρον ἔδωκεν ἔχειν, εἶπεν δὲ ἕκαστα
Ζηνὸς ἐφημοσύνῃσι διάκτορος Ἀργειφόντης,
ὡς ἔοι ἀθάνατος καὶ ἀγήρως ἤματα πάντα.
αὐτὰρ ἐπειδὴ Ζηνὸς ὅ γ' ἔκλυεν ἀγγελιάων, 215
οὐκέτ' ἔπειτα γόασκε, γεγήθει δὲ φρένας ἔνδον,
γηθόσυνος δ' ἵπποισιν ἀελλοπόδεσσιν ὀχεῖτο.
ὣς δ' αὖ Τιθωνὸν χρυσόθρονος ἥρπασεν Ἠώς
ὑμετέρης γενεῆς, ἐπιείκελον ἀθανάτοισι.
βῆ δ' ἴμεν αἰτήσουσα κελαινεφέα Κρονίωνα 220
ἀθάνατόν τ' εἶναι καὶ ζώειν ἤματα πάντα·
τῇ δὲ Ζεὺς ἐκένευσε καὶ ἐκρήηνεν ἐέλδωρ·
νηπίη, οὐδ' ἐνόησε μετὰ φρεσὶ πότνια Ἠώς
ἤβην αἰτῆσαι ξῦσαί τ' ἄπο γῆρας ὀλοιόν.
τὸν δ' ἤτοι εἵως μὲν ἔχεν πολυήρατος ἥβη, 225
Ἠοῖ τερπόμενος χρυσοθρόνῳ ἠριγενείῃ
ναῖε παρ' Ὠκεανοῖο ῥοῇς ἐπὶ πείρασι γαίης·
αὐτὰρ ἐπεὶ πρῶται πολιαὶ κατέχυντο ἔθειραι
καλῆς ἐκ κεφαλῆς εὐηγενέος τε γενείου,
τοῦ δ' ἤτοι εὐνῆς μὲν ἀπείχετο πότνια Ἠώς, 230
αὐτὸν δ' αὖτ' ἀτίταλλεν, ἐνὶ μεγάροισιν ἔχουσα,

Digitized by Google

σίτῳ τ' ἀμβροσίῃ τε καὶ εἵματα καλὰ διδοῦσα.
ἀλλ' ὅτε δὴ πάμπαν στυγερὸν κατὰ γῆρας ἔπειγεν,
οὐδέ τι κινῆσαι μελέων δύνατ' οὐδ' ἀναείραι,
ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλή· 235
ἐν θαλάμῳ κατέθηκε, θύρας δ' ἐπέθηκε φαεινάς.
τοῦ δ' ἤτοι φωνὴ ῥεῖ ἄσπετος, οὐδέ τι κῖκυς
ἔσθ', οἵη πάρος ἔσκεν ἐνὶ γναμπτοῖσι μέλεσσιν.
οὐκ ἂν ἔγωγέ σε τοῖον ἐν ἀθανάτοισιν ἑλοίμην
ἀθάνατόν τ' εἶναι καὶ ζώειν ἤματα πάντα. 240
ἀλλ' εἰ μὲν τοιοῦτος ἐὼν εἶδός τε δέμας τε
ζώοις, ἡμέτερός τε πόσις κεκλημένος εἴης,
οὐκ ἂν ἔπειτά μ' ἄχος πυκινὰς φρένας ἀμφικαλύπτοι.
νῦν δὲ σὲ μὲν τάχα γῆρας ὁμοίϊον ἀμφιπολήσει
νηλειές, τό τ' ἔπειτα παρίσταται ἀνθρώποισιν, 245
οὐλόμενον καματηρόν, ὅ τε στυγέουσι θεοί περ.
αὐτὰρ ἐμοὶ μέγ' ὄνειδος ἐν ἀθανάτοισι θεοῖσιν
ἔσσεται ἤματα πάντα διαμπερὲς εἵνεκα σεῖο,
οἳ πρὶν ἐμοὺς ὀάρους καὶ μήτιας, αἷς ποτε πάντας
ἀθανάτους συνέμιξα καταθνητῇσι γυναιξί, 250
τάρβεσκον· πάντας γὰρ ἐμὸν δάμνασκε νόημα.
νῦν δὲ δὴ οὐκέτι μοι στόμα χείσεται ἐξονομῆναι
τοῦτο μετ' ἀθανάτοισιν, ἐπεὶ μάλα πολλὸν ἀάσθην,
σχέτλιον οὐκ ὀνομαστόν, ἀπεπλάγχθην δὲ νόοιο,
παῖδα δ' ὑπὸ ζώνῃ ἐθέμην βροτῷ εὐνηθεῖσα. 255
τὸν μέν, ἐπὴν δὴ πρῶτον ἴδῃ φάος ἠελίοιο,
Νύμφαι μοι θρέψουσιν ὀρεσκῷοι βαθύκολποι,
αἳ τόδε ναιετάουσιν ὄρος μέγα τε ζάθεόν τε·
αἳ ῥ' οὔτε θνητοῖς οὔτ' ἀθανάτοισιν ἕπονται·
δηρὸν μὲν ζώουσι καὶ ἄμβροτον εἶδαρ ἔδουσι, 260
καί τε μετ' ἀθανάτοισι καλὸν χορὸν ἐρρώσαντο.

Digitized by Google

τῇσι δὲ Σειληνοί τε καὶ εὔσκοπος Ἀργειφόντης
μίσγοντ' ἐν φιλότητι μυχῷ σπείων ἐροέντων.
τῇσι δ' ἅμ' ἢ ἐλάται ἠὲ δρύες ὑψικάρηνοι
γεινομένῃσιν ἔφυσαν ἐπὶ χθονὶ βωτιανείρῃ, 265
καλαί, τηλεθάουσαι, ἐν οὔρεσιν ὑψηλοῖσιν·
[ἑστᾶσ' ἠλίβατοι· τεμένη δέ ἑ κικλήσκουσιν
ἀθανάτων· τὰς δ' οὔτι βροτοὶ κείρουσι σιδήρῳ·]
ἀλλ' ὅτε κεν δὴ μοῖρα παρεστήκῃ θανάτοιο,
ἀζάνεται μὲν πρῶτον ἐπὶ χθονὶ δένδρεα καλά, 270
φλοιὸς δ' ἀμφιπεριφθινύθει, πίπτουσι δ' ἀπ' ὄζοι,
τῶν δὲ θ' ὁμοῦ ψυχὴ λείπει φάος ἠελίοιο.
αἱ μὲν ἐμὸν θρέψουσι παρὰ σφίσιν υἱὸν ἔχουσαι.
τὸν μὲν ἐπὴν δὴ πρῶτον ἕλῃ πολυήρατος ἥβη,
ἄξουσίν τοι δεῦρο θεαὶ δείξουσί τε παῖδα. 275
[σοὶ δ' ἐγώ, ὄφρα κε ταῦτα μετὰ φρεσὶ πάντα διέλθω,
ἐς πέμπτον ἔτος αὖτις ἐλεύσομαι υἱὸν ἄγουσα.]
τὸν μὲν ἐπὴν δὴ πρῶτον ἴδῃς θάλος ὀφθαλμοῖσι,
γηθήσεις ὁρόων· μάλα γὰρ θεοείκελος ἔσται·
ἄξεις δ' αὐτίκα μιν ποτὶ Ἴλιον ἠνεμόεσσαν. 280
ἢν δέ τις εἴρηταί σε καταθνητῶν ἀνθρώπων,
ἥ τίς τοι φίλον υἱὸν ὑπὸ ζώνῃ θέτο μήτηρ,
τῷ δὲ σὺ μυθεῖσθαι μεμνημένος, ὥς σε κελεύω·
φάσθαι τοι Νύμφης καλυκώπιδος ἔκγονον εἶναι,
αἳ τόδε ναιετάουσιν ὄρος καταειμένον ὕλῃ. 285
εἰ δέ κεν ἐξείπῃς καὶ ἐπεύξεαι ἄφρονι θυμῷ
ἐν φιλότητι μιγῆναι ἐϋστεφάνῳ Κυθερείῃ,
Ζεύς σε χολωσάμενος βαλέει ψολόεντι κεραυνῷ.
εἴρηταί τοι πάντα· σὺ δὲ φρεσὶ σῇσι νοήσας
ἴσχεο μηδ' ὀνόμαινε, θεῶν δ' ἐποπίζεο μῆνιν. 290
Ὡς εἰποῦσ' ἤϊξε προς οὐρανὸν ἠνεμόεντα.

Digitized by Google

Χαῖρε, θεά, Κύπροιο ἐϋκτιμένης μεδέουσα·
σεῦ δ' ἐγὼ ἀρξάμενος μεταβήσομαι ἄλλον ἐς ὕμνον.

3. [h. 7.]

ΔΙΟΝΥΣΟΣ Η ΛΗΣΤΑΙ.

Ἀμφὶ Διώνυσον, Σεμέλης ἐρικυδέος υἱέα,
μνήσομαι, ὡς ἐφάνη παρὰ θῖν' ἁλὸς ἀτρυγέτοιο
ἀκτῇ ἐπὶ προβλῆτι, νεηνίῃ ἀνδρὶ ἐοικώς
πρωθήβῃ· καλαὶ δὲ περισσείοντο ἔθειραι
κυάνεαι, φᾶρος δὲ περὶ στιβαροῖς ἔχεν ὤμοις 5
πορφύρεον. τάχα δ' ἄνδρες ἐϋσσέλμου ἐπὶ νηός
ληϊσταὶ προγένοντο θοῶς ἐπὶ οἴνοπα πόντον,
Τυρσηνοί· τοὺς δ' ἦγε κακὸς μόρος· οἱ δὲ ἰδόντες
νεῦσαν ἐς ἀλλήλους, τάχα δ' ἔκθορον· αἶψα δ' ἑλόντες
εἶσαν ἐπὶ σφετέρης νηὸς κεχαρημένοι ἦτορ — 10
υἱὸν γάρ μιν ἔφαντο διοτρεφέων βασιλήων
εἶναι — καὶ δεσμοῖς ἔθελον δεῖν ἀργαλέοισι.
τὸν δ' οὐκ ἴσχανε δεσμά, λύγοι δ' ἀπὸ τηλόσε πῖπτον
χειρῶν ἠδὲ ποδῶν· ὁ δὲ μειδιάων ἐκάθητο
ὄμμασι κυανέοισι. κυβερνήτης δὲ νοήσας 15
αὐτίκα οἷς ἑτάροισιν ἐκέκλετο φώνησέν τε·

Δαιμόνιοι, τίνα τόνδε θεὸν δεσμεύεθ' ἑλόντες
καρτερόν; οὐδὲ φέρειν δύναταί μιν νηῦς εὐεργής.
ἢ γὰρ Ζεὺς ὅδε γ' ἐστὶν ἢ ἀργυρότοξος Ἀπόλλων
ἠὲ Ποσειδάων, ἐπεὶ οὐ θνητοῖσι βροτοῖσιν 20
εἴκελος, ἀλλὰ θεοῖς, οἳ Ὀλύμπια δώματ' ἔχουσιν.
ἀλλ' ἄγετ' αὐτὸν ἀφῶμεν ἐπ' ἠπείροιο μελαίνης
αὐτίκα, μηδ' ἐπὶ χεῖρας ἰάλλετε, μή τι χολωθείς
ὄρσῃ ἀργαλέους τ' ἀνέμους καὶ λαίλαπα πολλήν.
Ὣς φάτο, τὸν δ' ἀρχὸς στυγερῷ ἠνίπαπε μύθῳ· 25

Digitized by Google

Δαιμόνι', οὖρον ὅρα, ἅμα δ' ἱστίον ἕλκεο νηός
σύμπανθ' ὅπλα λαβών· ὧδε δ' αὖτ' ἄνδρεσσι μελήσει.
ἔλπομαι, ἢ Αἴγυπτον ἀφίξεται ἢ ὅ γε Κύπρον
ἢ ἐς Ὑπερβορέους ἢ ἑκαστέρω· ἐς δὲ τελευτὴν
ἔκ ποτ' ἐρεῖ αὐτοῦ τε φίλους καὶ κτήματα πάντα 30
οὕς τε κασιγνήτους, ἐπεὶ ἥμιν ἔμβαλε δαίμων.
Ὡς εἰπὼν ἱστόν τε καὶ ἱστίον ἕλκετο νηός.
ἔμπνευσεν δ' ἄνεμος μέσον ἱστίον· ἀμφὶ δ' ἄρ' ὅπλα
καττάνυσαν. τάχα δέ σφιν ἐφαίνετο θαυματὰ ἔργα·
οἶνος μὲν πρώτιστα θοὴν ἀνὰ νῆα μέλαιναν 35
ἡδύποτος κελάρυζ' εὐώδης, ὤρνυτο δ' ὀδμὴ
ἀμβροσίη· ναύτας δὲ τάφος λάβε πάντας ἰδόντας.
αὐτίκα δ' ἀκρότατον παρὰ ἱστίον ἐξετανύσθη
ἄμπελος ἔνθα καὶ ἔνθα, κατεκρημνῶντο δὲ πολλοί
βότρυες· ἀρφ' ἱστὸν δὲ μέλας εἱλίσσετο κισσός 40
ἄνθεσι τηλεθάων, χαρίεις δ' ἐπὶ καρπὸς ὀρώρει·
πάντες δὲ σκαλμοὶ στεφάνους ἔχον. οἱ δὲ ἰδόντες
* νῆα σύθην τότ' ἔπεντα κυβερνήτην ἐκέλευον
γῇ πελάαν. ὁ δ' ἄρα σφι λέων γένετ' ἔνδοθι νηός
δεινὸς ἐπ' ἀπροτέκτης, μέγα δ' ἔβραχεν· ἐν δ' ἄρα μέσσῃ 45
ἄρκτον ἐποίησεν λασιαύχενα, σήματα φαίνων·
ἂν δ' ἔστη μεμαυῖα· λέων δ' ἐπὶ σέλματος ἄκρου
δεινὸν ὑπόδρα ἰδών. οἱ δ' εἰς πρύμνην ἐφόβηθεν,
ἀμφὶ κυβερνήτην δὲ σαόφρονα θυμὸν ἔχοντα
ἔσταν ἄρ' ἐκπληγέντες· ὁ δ' ἐξαπίνης ἐπορούσας 50
ἀρχὸν ἕλ', οἱ δὲ θύραζε, κακὸν μόρον ἐξαπόλοντες,
πάντες ὁμῶς πήδησαν, ἐπεὶ ἴδον, εἰς ἅλα δῖαν,
δελφῖνες δ' ἐγένοντο· κυβερνήτην δ' ἐλεήσας
ἔσχεθε καί μιν ἔθηκε πανόλβιον εἶπέ τε μῦθον·
Θάρσει, ὅτε, * μάκαρ, τῷ ἐμῷ κεχαρισμένε θυμῷ· 55

Digitized by Google

εἰμὶ δ' ἐγὼ Διόνυσος ἐρίβρομος, ὃν τέκε μήτηρ
Καδμηὶς Σεμέλη Διὸς ἐν φιλότητι μιγεῖσα.
Χαῖρε, τέκος Σεμέλης εὐώπιδος· οὐδέ πῃ ἔστι
σεῖό γε ληθόμενον γλυκερὴν κοσμῆσαι ἀοιδήν.

4. [h. 19.]

ΕΙΣ ΠΑΝΑ.

Ἀμφί μοι Ἑρμείαο φίλου γόνον ἔννεπε, Μοῦσα,
αἰγιπόδην, δικέρωτα, φιλόκροτον, ὅς τ' ἀνὰ πίση
δενδρήεντ' ἄμυδις φοιτᾷ χορόηθεσι νύμφαις,
αἵ τε κατ' αἰγίλιπος πέτρης στείβουσι κάρηνα,
Πᾶν' ἀνακεκλόμεναι, νόμιον θεόν, ἀγλαέθειρον, 5
αὐχμήενθ', ὃς πάντα λόφον νιφόεντα λέλογχε
καὶ κορυφὰς ὀρέων καὶ πετρήεντα κέλευθα.
φοιτᾷ δ' ἔνθα καὶ ἔνθα διὰ ῥωπήϊα πυκνά,
ἄλλοτε μὲν ῥείθροισιν † ἐφελκόμενος μαλακοῖσιν,
ἄλλοτε δ' αὖ πέτρῃσιν ἐν ἠλιβάτοισι διοιχνεῖ, 10
ἀκροτάτην κορυφὴν μηλόσκοπον εἰσαναβαίνων.
πολλάκι δ' ἀργινόεντα διέδραμεν οὔρεα μακρά,
πολλάκι δ' ἐν κνημοῖσι διήλασε θῆρας ἐναίρων,
ὀξέα δερκόμενος· τοτὲ δ' ἕσπερος ἔκλαγ' ἀν' ὕλην
ἄγρης ἐξανιών, δονάκων ὕπο μοῦσαν ἀθύρων 15
ἥδυμον· οὐκ ἂν τόν γε παραδράμοι ἐν μελέεσσιν
ὄρνις, ἥ τ' ἔαρος πολυανθέος ἐν πετάλοισι
θρῆνον ἐπιπροχέουσ' ἰάχει μελίγηρυν ἀοιδήν.
σὺν δέ σφιν τότε Νύμφαι ὀρεστιάδες λιγύμολποι
φοιτῶσαι πύκα ποσσὶν ἐπὶ κρήνῃ μελανύδρῳ 20
μέλπονται· κορυφὴν δὲ περιστένει οὔρεος ἠχώ·
δαίμων δ' ἔνθα καὶ ἔνθα χορῶν, τοτὲ δ' ἐς μέσον ἕρπων
πυκνὰ ποσὶν διέπει — λαῖφος δ' ἐπὶ νῶτα δαφοινόν

Digitized by Google

λυγκὸς ἔχει — λιγυρῇσιν ἀγαλλόμενος φρένα μολπαῖς,
ἐν μαλακῷ λειμῶνι, τόθι κρόκος ἠδ' ὑάκινθος 25
εὐώδης θαλέθων καταμίσγεται ἄκριτα ποίῃ.
ὑμνεῦσιν δὲ θεοὺς μάκαρας καὶ μακρὸν Ὄλυμπον·
οἷόν θ' Ἑρμείην ἐριούνιον ἔξοχον ἄλλων
ἔννεπον, ὡς ὅ γ' ἅπασι θεοῖς θοὸς ἄγγελός ἐστι,
καί ῥ' ὅ γ' ἐς Ἀρκαδίην πολυπίδακα, μητέρα μήλων, 30
ἔξικετ', ἔνθα τέ οἱ τέμενος Κυλληνίου ἐστίν.
ἔνθ' ὅ γε καὶ θεὸς ὢν ψαφαρότριχα μῆλ' ἐνόμευεν
ἀνδρὶ πάρα θνητῷ· θάλπεν δ' ἔρος ὑγρὸς ἐπελθών
νύμφῃ ἐϋπλοκάμῳ Δρύοπος φιλότητι μιγῆναι.
ἐκ δ' ἐτέλεσσε γάμον θαλερόν· τέκε δ' ἐν μεγάροισιν 35
Ἑρμείῃ φίλον υἱόν, ἄφαρ τερατωπὸν ἰδέσθαι,
αἰγιπόδην, δικέρωτα, πολύκροτον, ἡδυγέλωτα.
φεῦγε δ' ἀναΐξασα, λίπεν δ' ἄρα παῖδα τιθήνη·
δεῖσε γάρ, ὡς ἴδεν ὄψιν ἀμείλιχον ἠϋγένειον.
τὸν δ' αἶψ' Ἑρμείας ἐριούνιος ἐς χέρα θῆκε 40
δεξάμενος, χαῖρεν δὲ νόῳ περιώσια δαίμων.
ῥίμφα δ' ἐς ἀθανάτων ἕδρας κίε, παῖδα καλύψας
δέρμασιν ἐν πυκινοῖσιν ὀρεσκῴοιο λαγωοῦ·
πὰρ δὲ Ζηνὶ κάθιζε καὶ ἄλλοις ἀθανάτοισι,
δεῖξε δὲ κοῦρον ἑόν· πάντες δ' ἄρα θυμὸν ἔτερφθεν 45
ἀθάνατοι, περίαλλα δ' ὁ Βάκχειος Διόνυσος·
Πᾶνα δέ μιν καλέεσκον, ὅτι φρένα πᾶσιν ἔτερψε.

Καὶ σὺ μὲν οὕτω χαῖρε, ἄναξ, λίτομαι δέ σ' ἀοιδῇ·
αὐτὰρ ἐγὼ καὶ σεῖο καὶ ἄλλης μνήσομ' ἀοιδῆς.

Digitized by Google

II. ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ.

Carmen ludicrum, quo ranarum cum muribus pugna depingitur, olim ad Homerum referebatur, hodie tribuitur Pigreti Cari, fratri Artemisiae Halicarnassensis illius, cuius nomen laude Herodoti (VII 99) celebratum est.

Ἀρχόμενος πρῶτον Μουσῶν χορὸν ἐξ Ἑλικῶνος
ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι εἵνεκ' ἀοιδῆς,
ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα,
δῆριν ἀπειρεσίην, πολεμόκλονον ἔργον Ἄρηος,
εὐχόμενος μερόπεσσιν ἐς οὔατα πᾶσι βαλέσθαι, 5
πῶς μύες ἐν βατράχοισιν ἀριστεύσαντες ἔβησαν,
γηγενέων ἀνδρῶν μιμούμενοι ἔργα Γιγάντων.
ὡς ἔπος ἐν θνητοῖσιν ἔην, τοιήνδ' ἔχεν ἀρχήν.
Μῦς ποτε διψαλέος, γαλέης κίνδυνον ἀλύξας,
πλησίον ἐν λίμνῃ ἁπαλὸν προσέθηκε γένειον, 10
ὕδατι τερπόμενος μελιηδέϊ· τὸν δὲ κατεῖδεν
λιμνοχαρὴς πολύφημος, ἔπος δ' ἐφθέγξατο τοῖον·
Ξεῖνε, τίς εἶ; πόθεν ἦλθες ἐπ' ἠόνα; τίς δέ σ' ὁ φύσας;
πάντα δ' ἀλήθευσον, μὴ ψευδόμενόν σε νοήσω.
εἰ γάρ σε γνοίην φίλον ἄξιον, ἐς δόμον ἄξω· 15
δῶρα δέ τοι δώσω ξεινήϊα πολλὰ καὶ ἐσθλά.
εἰμὶ δ' ἐγὼ βασιλεὺς Φυσίγναθος, ὃς κατὰ λίμνην
τιμῶμαι βατράχων ἡγούμενος ἤματα πάντα·
καί με πατὴρ Πηλεὺς ἀνεθρέψατο, Ὑδρομεδούσῃ
μιχθεὶς ἐν φιλότητι παρ' ὄχθας Ἠριδανοῖο. 20
καὶ σὲ δ' ὁρῶ καλόν τε καὶ ἄλκιμον ἔξοχον ἄλλων,
σκηπτοῦχον βασιλῆα καὶ ἐν πολέμοισι μαχητήν
ἔμμεναι· ἀλλ' ἄγε θᾶσσον ἑὴν γενεὴν ἀγόρευε.

Digitized by Google

Τὸν δ' αὖ Ψιχάρπαξ ἀπαμείβετο φώνησέν τε·
Τίπτε γένος τοὐμὸν ζητεῖς; δῆλον δ' ἐν ἅπασιν 25
[ἀνθρώποις τε θεοῖς τε καὶ οὐρανίοις πετεηνοῖς].
Ψιχάρπαξ μὲν ἐγὼ κικλήσκομαι· εἰμὶ δὲ κοῦρος
Τρωξάρταο πατρὸς μεγαλήτορος, ἡ δέ νυ μήτηρ
Λειχομύλη, θυγάτηρ Πτερνοτρώκτου βασιλῆος·
γείνατο δ' ἐν καλύβῃ με καὶ ἐξεθρέψατο τρωκτοῖς, 30
σύκοις καὶ καρύοις, καὶ ἐδέσμασι παντοδαποῖσιν.
πῶς δὲ φίλον ποιῇ με, τὸν ἐς φύσιν οὐδὲν ὁμοῖον;
σοὶ μὲν γὰρ βίος ἐστὶν ἐν ὕδασιν, αὐτὰρ ἔμοιγε,
ὅσσα παρ' ἀνθρώποις, τρώγειν ἔθος· οὔ τι με λήθει
ἄρτος δισκοπάνιστος ἀπ' εὐκύκλου κανέοιο, 35
οὐ πλακόεις τανύπεπλος ἔχων πολὺ σησαμότυρον,
οὐ τόμος ἐκ πτέρνης, οὐχ ἥπατα λευκοχίτωνα,
οὐ τυρὸς νεόπηκτος ἀπὸ γλυκεροῖο γάλακτος,
οὐ χρηστὸν μελίτωμα, τὸ καὶ μάκαρες ποθέουσιν,
οὐδ' ὅσα πρὸς θοίνας μερόπων τεύχουσι μάγειροι, 40
κοσμοῦντες χύτρας ἀρτύμασι παντοδαποῖσιν.
[οὐδέποτε πτολέμοιο κακὴν ἀπέφευγον ἀϋτήν,
ἀλλ' ἰθὺς μετὰ μῶλον ἰὼν προμάχοισιν ἐμίχθην.
οὐ δέδι' ἄνθρωπον καίπερ μέγα σῶμα φοροῦντα,
ἀλλ' ἐπὶ λέκτρον ἰὼν καταδάκνω δάκτυλον ἄκρον, 45
καὶ πτέρνης λαβόμην, καὶ † οὐ πόνος ἄνδρα ἵκανεν,
νήδυμος οὐκ ἀπέφευγεν ὕπνος δάκνοντος ἐμεῖο.
ἀλλ' ἐρέω μάλα πάντα, τὰ δείδια πᾶσαν ἐπ' αἶαν,
κίρκον καὶ γαλέην, οἵ μοι μέγα πένθος ἄγουσιν,
καὶ παγίδα στονόεσσαν, ὅπου δολόεις πέλε πότμος· 50
πλεῖστον δὴ γαλέην περιδείδια, ἥ τις ἀλιτρή,
ἣ καὶ * τρωγλοδύοντα κατὰ τρώγλην ἐρεείνει.]
οὐ τρώγω ῥαφάνας, οὐ κράμβας, οὐ κολοκύντας,

Digitized by Google

οὐ πράσσοις χλωροῖς ἐπιβόσκομαι οὐδὲ σελίνοις·
ταῦτα γὰρ ὑμέτερ' ἐστὶν ἐδέσματα τῶν κατὰ λίμνην. 55
Πρὸς τάδε μειδήσας Φυσίγναθος ἀντίον ηὔδα·
Ξεῖνε, λίην αὐχεῖς ἐπὶ γαστέρι· ἔστι καὶ ἡμῖν
πολλὰ μάλ' ἐν λίμνῃ καὶ ἐπὶ χθονὶ θαύματ' ἰδέσθαι.
ἀμφίβιον γὰρ ἔδωκε νομὴν βατράχοισι Κρονίων,
σκιρτῆσαι κατὰ γῆν καὶ ἐφ' ὕδασι σῶμα καλύψαι. 60
[στοιχείοις διττοῖς μεμερισμένα δώματα ναίειν.]
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, εὐχερές ἐστιν.
βαῖνέ μοι ἐν νώτοισι, κράτει δέ με, μή ποτ' ὀλίσθῃς,
ὅππως γηθόσυνος τὸν ἐμὸν δόμον εἰσαφίκηαι.
Ὣς ἄρ' ἔφη καὶ νῶτ' ἐδίδου· ὁ δ' ἔβαινε τάχιστα, 65
χεῖρας ἔχων τρυφεροῖο κατ' αὐχένος ἅλματι κούφῳ.
καὶ πρῶτον μὲν ἔχαιρεν, ὅτ' ἔβλεπε γείτονας ὅρμους,
νήξει τερπόμενος Φυσιγνάθου· ἀλλ' ὅτε δή ῥα
κύμασι πορφυρέοισιν ἐκλύζετο, πολλὰ δακρύων
οὐρὴν μὲν προπέτασσεν ἐφ' ὕδασιν, ἠΰτε κώπην 70
σύρων, εὐχόμενός τε θεοῖς ἐπὶ γαῖαν ἱκέσθαι
[ὕδασι πορφυρέοισιν ἐκλύζετο, πολλὰ δ' ἐβώστρει]
ἄχρηστον μετάνοιαν ἐμέμφετο, τίλλε δὲ χαίτας
καὶ πόδας ἔσφιγγεν κατὰ γαστέρα, ἐν δέ οἱ ἦτορ
[πάλλετ' ἀηθείῃ, καὶ ἐπὶ χθόνα βούλεθ' ἱκέσθαι·] 75
δεινὸν ὑπεστονάχιζε φόβου κρυόεντος ἀνάγκῃ.
[καὶ τοῖον φάτο μῦθον ἀπὸ στόματός τ' ἀγόρευσεν·]
οὐχ οὕτω νώτοισιν ἐβάστασε φόρτον ἔρωτος
ταῦρος, ὅτ' Εὐρώπην διὰ πύματος ἦγ' ἐπὶ Κρήτην,
ὡς μῦν ἁπλώσας ἐπινώτιον ἦγεν ἐς οἶκον 80
βάτραχος ἀμπετάσας ὠχρὸν δέμας ὕδατι λευκῷ.
Ὕδρος δ' ἐξαίφνης ἀνεφαίνετο, δεινὸν ὅραμα
ἀμφοτέροις· ὀρθὸν δ' ὑπὲρ ὕδατος εἶχε τράχηλον.

Digitized by Google

τοῦτον ἰδὼν κατέδυ Φυσίγναθος, οὔ τι νοήσας,
οἷον ἑταῖρον ἔμελλεν ἀπολλύμενον καταλείπειν· 85
δῦ δὲ βάθος λίμνης καὶ ἀλεύατο κῆρα μέλαιναν.
κεῖνος δ' ὡς ἀφέθη, πέσεν ὕπτιος εὐθὺς ἐφ' ὕδωρ·
[χεῖρας δ' ἔσφιγγεν καὶ ἀπολλύμενος κατέτρυζε.]
πολλάκι μὲν κατέδυνεν ἐφ' ὕδατι, πολλάκι δ' αὖτε
λακτίζων ἀνέδυνε· μόρον δ' οὐκ ἦν ὑπαλύξαι. 90
δευόμεναι δὲ τρίχες πλεῖστον βάρος ἦσαν ἐπ' αὐτῷ·
ὕδασι δ' ὀλλύμενος τοίους ἐφθέγξατο μύθους·

Οὐ λήσεις δολίως, Φυσίγναθε, ταῦτα ποιήσας,
ναυηγὸν ῥίψας ἀπὸ σώματος ὡς ἀπὸ πέτρης.
οὐκ ἄν μου κατὰ γαῖαν ἀμείνων ἦσθα, κάκιστε, 95
παγκρατίῳ τε πάλῃ τε καὶ εἰς δρόμον, ἀλλὰ πλανήσας
εἰς ὕδωρ μ' ἔρριψας. ἔχει θεὸς ἔκδικον ὄμμα·
* ποινὴν αὖ τίσεις σὺ μυῶν στρατῷ οὐδ' ὑπαλύξεις.

Ὡς εἰπὼν ἀπέπνευσεν ἐφ' ὕδατι. τὸν δὲ κατεῖδεν
Ἀειχοπίναξ ὄχθῃσιν ἐφεζόμενος μαλακῇσιν· 100
δεινὸν δ' ἐξολόλυξε, δραμὼν δ' ἤγγειλε μύεσσιν.
ὡς δ' ἔμαθον τὴν μοῖραν, ἔδυ χόλος αἰνὸς ἅπαντας·
καὶ τότε κηρύκεσσιν ἑοῖς ἐκέλευσαν ὑπ' ὄρθρον
κηρύσσειν ἀγορήνδ' ἐς δώματα Τρωξάρταο,
πατρὸς δυστήνου Ψιχάρπαγος, ὃς κατὰ λίμνην 105
ὕπτιος ἐξήπλωτο, νεκρὸν δέμας, οὐδὲ παρ' ὄχθας
ἦν ἤδη τλήμων, μέσσῳ δ' ἐπενήχετο πόντῳ.
ὡς δ' ἦλθον σπεύδοντες ἅμ' ἠοῖ, πρῶτος ἀνέστη
Τρωξάρτης ἐπὶ παιδὶ χολούμενος εἶπέ τε μῦθον·

Ὦ φίλοι, εἰ καὶ μοῦνος ἐγὼ κακὰ πολλὰ πέπονθα 110
ἐκ βατράχων, ἦ πεῖρα κακὴ πάντεσσι τέτυκται.
εἰμὶ δὲ νῦν ἐλεεινός, ἐπεὶ τρεῖς παῖδας ὄλεσσα.
καὶ τὸν μὲν πρῶτόν γε κατέκτανεν ἁρπάξασα

Digitized by Google

ἐχθίστη γαλέη, τρώγλης ἔντοσθεν ἑλοῦσα·
τὸν δ' ἄλλον πάλιν ἄνδρες ἀπηνέες ἐς μόρον εἷλξαν, 115
καινοτέραις τέχναις ξύλινον δόλον ἐξευρόντες·
[ἣν παγίδα καλέουσι, μυῶν ὀλέτειραν ἐοῦσαν.]
ὃ τρίτος ἦν, ἀγαπητὸς ἐμοὶ καὶ μητέρι κεδνῇ,
τοῦτον ἀπέπνιξεν Φυσίγναθος ἐς βυθὸν ἅξας.
ἀλλ' ἄγεθ' ὁπλισόμεσθα καὶ ἐξέλθωμεν ἐπ' αὐτούς, 120
σώματα κοσμήσαντες ἐν ἔντεσι δαιδαλέοισιν.
Ταῦτ' εἰπὼν ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας.
[καὶ τοὺς μέν ῥ' ἐκόρυσσεν Ἄρης πολέμοιο μεμηλώς·]
κνημῖδας μὲν πρῶτον ἐφήρμοσαν, ἐς δύο μοίρας
ῥήξαντες κυάμους χλωροὺς εὖ τ' ἀσκήσαντες, 125
οὓς αὐτοὶ διὰ νυκτὸς ἐπιστάντες κατέτρωξαν.
θώρηκας δ' εἶχον † καλαμοστεφέων ἀπὸ βυρσῶν,
οὓς γαλέην δείραντες ἐπισταμένως ἐποίησαν.
ἀσπὶς δ' ἦν λύχνου τὸ μεσόμφαλον· ἡ δέ νυ λόγχη
εὐμήκεις βελόναι, παγχάλκεον ἔργον Ἄρηος· 130
ἡ δὲ κόρυς τὸ λέπυρον ἐπὶ κροτάφοις ἐρεβίνθου.
οὕτω μὲν μύες ἦσαν ἐν ὅπλοις. ὡς δ' ἐνόησαν
βάτραχοι, ἐξανέδυσαν ἀφ' ὕδατος, ἐς δ' ἕνα χῶρον
ἐλθόντες βουλὴν ξύναγον πολέμοιο κακοῖο.
σκεπτομένων δ' αὐτῶν, πόθεν ἡ στάσις ἤ τίς ὁ θρύλλος, 135
κῆρυξ ἐγγύθεν ἦλθε, φέρων ῥάβδον μετὰ χερσίν,
Τυρογλύφου υἱὸς μεγαλήτορος Ἐμβασίχυτρος,
ἀγγέλλων πολέμοιο κακὴν φάτιν, εἶπέ τε τοῖα·
Ὦ βάτραχοι, μύες ὔμμιν ἀπειλήσαντες ἔπεμψαν
εἰπεῖν ὁπλίζεσθαι ἐπὶ πτόλεμόν τε μάχην τε. 140
εἶδον γὰρ καθ' ὕδωρ Ψιχάρπαγα, ὅν περ ἔπεφνεν
ὑμέτερος βασιλεὺς Φυσίγναθος. ἀλλὰ μάχεσθε,
οἵτινες ἐν βατράχοισιν ἀριστῆες * γεγάασθε.

Digitized by Google

Ὡς εἰπὼν ἀπέφηνε· λιγυς δ' εἰς οὔατα μῦθος
εἰσελθὼν ἐτάραξε φρένας βατράχων ἀγερώχων. 145
μεμφομένων δ' αὐτῶν Φυσίγναθος εἶπεν ἀναστάς·
Ὦ φίλοι, οὐκ ἔκτεινον ἐγὼ μῦν οὐδὲ κατεῖδον
ὀλλύμενον· πάντως ἐπνίγη παίζων παρὰ λίμνην,
νήξεις τὰς βατράχων μιμούμενος· οἱ δὲ κάκιστοι
νῦν ἐμὲ μέμφονται τὸν ἀναίτιον. ἀλλ' ἄγε βουλὴν 150
ζητήσωμεν, ὅπως δολίους μύας ἐξολέσωμεν.
τοιγὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
σώματα κοσμήσαντες ἐν ὅπλοις στῶμεν ἅπαντες
ἄκροις παρ' χείλεσσιν, ὅπου κατάκρημνος ὁ χῶρος·
ἡνίκα δ' ὁρμηθέντες ἐφ' ἡμέας ἐξέλθωσι, 155
δραξάμενοι κορύθων, ὅς τις σχεδὸν ἀντίος ἔλθῃ,
ἐς λίμνην αὐτοὺς σὺν ἐκείναις εὐθὺ βάλωμεν.
οὕτω γὰρ πνίξαντες ἐν ὕδασι τοὺς ἀκολύμβους
στήσομεν εὐθύμως τὸ μυοκτόνον ὧδε τρόπαιον.
Ὡς εἰπὼν ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας. 160
φύλλοις μὲν μαλαχῶν κνήμας ἑὰς ἀμφεκάλυψαν,
θώρηκας δ' εἶχον χλωρῶν πλατέων ἀπὸ σεύτλων,
φύλλα δὲ τῶν κραμβῶν εἰς ἀσπίδας εὖ ἤσκησαν,
ἔγχος δ' ὀξύσχοινος ἑκάστῳ μακρὸς ἀρήρει,
* καί ῥα κέρα κοχλιῶν λεπτῶν ἐκάλυπτε κάρηνα. 165
φραξάμενοι δ' ἔστησαν ἐπ' ὄχθαις ὑψηλῇσιν
σείοντες λόγχας, θυμοῦ δ' ἔμπληντο ἕκαστος.
Ζεὺς δὲ θεοὺς καλέσας εἰς οὐρανὸν ἀστερόεντα
καὶ πολέμου πληθὺν δείξας κρατερούς τε μαχητάς,
πολλοὺς καὶ μεγάλους ἠδ' ἔγχεα μακρὰ φέροντας, 170
οἷος Κενταύρων στρατὸς ἔρχεται ἠδὲ Γιγάντων,
ἠδὺ γελῶν ἐρέεινε, τίνες βατράχοισιν ἀρωγοί
ἢ μυσὶν ἀθανάτων· καὶ Ἀθηναίην προσέειπεν·

Digitized by Google

Ὦ θύγατερ, μυσὶν ἦ ῥ' ἐπαλεξήσουσα πορεύσῃ;
καὶ γάρ σου κατὰ νηὸν ἀεὶ σκιρτῶσιν ἅπαντες 175
κνίσῃ τερπόμενοι καὶ ἐδέσμασι παντοδαποῖσιν.
Ὣς ἄρ' ἔφη Κρονίδης, τὸν δὲ προσέειπεν Ἀθήνη·
Ὦ πάτερ, οὐκ ἄν πώ ποτ' ἐγὼ μυσὶ τειρομένοισιν
ἐλθοίην ἐπαρωγός, ἐπεὶ κακὰ πολλά μ' ἔοργαν
στέμματα βλάπτοντες καὶ λύχνους εἶνεκ' ἐλαίου. 180
τοῦτο δέ μοι λίην ἔδακε φρένας, οἷον ἔρεξαν.
πέπλον μου κατέτρωξαν, ὃν ἐξύφηνα καμοῦσα
ἐκ ῥοδάνης λεπτῆς καὶ στήμονα λεπτὸν ἔνησα,
* τράγλας τ' ἐμποίησαν· ὁ δ' ἠπητής μοι ἐπέστη —
χρησαμένη γὰρ ὕφηνα καὶ οὐκ ἔχω ἀνταποδοῦναι — 185
καὶ πράσσει με τόκον· τὸ δὲ ῥίγιον ἀθανάτοισιν.
ἀλλ' οὐδ' ὣς βατράχοισιν ἀρηγέμεναι * λελίημαι·
εἰσὶ γὰρ οὐδ' αὐτοὶ φρένας ἔμπεδοι, ἀλλά με πρώην
ἐκ πολέμου ἀνιοῦσαν, ἐπεὶ λίην ἐκοπώθην,
ὕπνου δευομένην οὐκ εἴασαν θορυβοῦντες 190
οὐδ' ὀλίγον καταμῦσαι· ἐγὼ δ' ἄϋπνος κατεκείμην,
τὴν κεφαλὴν ἀλγοῦσα, ἕως ἐβόησεν ἀλέκτωρ.
ἀλλ' ἄγε παυσώμεσθα, θεοί, τούτοισιν ἀρήγειν,
μή νύ τις ἡμείων τρωθῇ βέλει ὀξυόεντι·
εἰσὶ γὰρ ἀγχέμαχοι, καὶ εἰ θεὸς ἀντίος ἔλθοι· 195
πάντες δ' οὐρανόθεν τερπώμεθα δῆριν ὁρῶντες.
Ὣς ἄρ' ἔφη, τῇ δ' αὖτ' ἐπεπείθοντο θεοὶ ἄλλοι,
πάντες ὁμῶς δ' εἰσῆλθον ἀολλέες εἰς ἕνα χῶρον.
καὶ τότε κώνωπες μεγάλας σάλπιγγας ἔχοντες
δεινὸν ἐσάλπιγξαν πολέμου κτύπον· οὐρανόθεν δέ 200
Ζεὺς Κρονίδης βρόντησε, τέρας πολέμοιο κακοῖο.
Πρῶτος δ' Ὑψιβόας Λειχήνορα οὔτασε δουρί,
ἑσταότ' ἐν προμάχοις, κατὰ γαστέρα ἐς μέσον ἧπαρ·

Digitized by Google

κὰδ δ' ἔπεσεν πρηνής, ἀπαλὰς δ' ἐκόνισεν ἐθείρας.
[δούπησεν δὲ πεσών, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.] 205
Τρωγλοδύτης δὲ μετ' αὐτὸν ἀκόντισε Πηλείωνος,
πῆξεν δ' ἐν στέρνῳ στιβαρὸν δόρυ· τὸν δὲ πεσόντα
εἷλε μέλας θάνατος, ψυχὴ στόματος δ' ἐξέπτη.
Σευτλαῖον δ' ἄρ' ἔπεφνε βαλὼν κέαρ Ἐμβασίχυτρος.
[Ὠκιμίδην δ' ἄχος εἷλε καὶ ἤλασεν ὀξεῖ σχοίνῳ, 210
οὐδ' ἐξέσπασεν ἔγχος ἐναντίον· ἤριπε δ' εὐθύς.]
Ἀρτοφάγος δὲ Πολύφωνον κατὰ γαστέρα τύψεν·
[ἤριπε δὲ πρηνής, ψυχὴ δὲ μελέων ἐξέπτη.]
Λιμνόχαρις δ' ὡς εἶδεν ἀπολλύμενον Πολύφωνον,
Τρωγλοδύτην πέτρῳ μυλοειδεῖ τρῶσεν ἐπιφθάς 215
αὐχένα πὰρ μέσσον· τὸν δὲ σκότος ὄσσε κάλυψεν.
† Λειχήνωρ δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ
καὶ βάλεν, οὐδ' ἀφάμαρτε, καθ' ἧπατος· ὡς δ' ἐνόησε
Κοστοφάγον φεύγοντα, βαθείαις ἔμπεσεν ὄχθαις·
ἀλλ' οὐδ' ὣς ἀπέληγε μάχης, ἀλλ' ἤλασεν αὐτόν· 220
κὰδ δ' ἔπεσ' οὐδ' ἀνένευσεν· ἐβάπτετο δ' αἵματι λίμνη
πορφυρέῳ, αὐτὸς δὲ παρ' ἠϊόν' ἐξετανύσθη
[χορδῇσιν λιπαρῇσί τε πειρόμενος λαγόνεσσιν].
* Τυροφάγον δ' αὖτις Λιμνήσιος ἐξενάριξεν·
Πτερνογλύφον δ' ἐςιδὼν Καλαμίνθιος ἐς φόβον ἦλθεν, 225
ἥλατο δ' ἐς λίμνην φεύγων, τὴν ἀσπίδα ῥίψας.
[Φιλτραῖον δ' ἄρ' ἔπεφνεν ἀμύμων Ἐμβασίχυτρος.]
Ὑδρόχαρις δέ τ' ἔπεφνεν † Πτερνοφάγον βασιλῆα,
χερμαδίῳ πλήξας κατὰ βρέγματος· ἐγκέφαλος δέ
ἐκ ῥινῶν ἔσταξε, παλάσσετο δ' αἵματι γαῖα. 230
Λειχοπίναξ δ' ἔκτεινεν ἀμύμονα Βορβοροκοίτην,
ἔγχει ἐπαΐξας· τὸν δὲ σκότος ὄσσε κάλυψεν.
* * * * * * * * * * * * * * *

Digitized by Google

Πρασσαῖος δ' ἐςιδὼν ποδὸς εἵλκυσε νεκρὸν ἐόντα,
ἐν λίμνῃ δ' ἀπέπνιξε κρατήσας χειρὶ τένοντα.
† Ψιχάρπαξ δ' ἥμυν' ἑτάρων περὶ τεθνειώτων 235
καὶ βάλε Πρασσαῖον κατὰ νηδύος ἐς μέσον ἧπαρ·
πῖπτε δέ οἱ πρόσθεν, ψυχὴ δ' Ἄϊδόσδε βεβήκει.
Κραμβοβάτης δ' ἐςιδὼν πηλοῖ δράκα ῥῖψεν ἐπ' αὐτόν
καὶ τὸ μέτωπον ἔχρισε καὶ ἐξετύφλου παρὰ μικρόν.
ὠργίσθη δ' ἄρ' ἐκεῖνος, ἑλὼν δέ τε χειρὶ παχείῃ 240
κείμενον ἐν πεδίῳ λίθον ὄβριμον, ἄχθος ἀρούρης,
τῷ βάλε Κραμβοβάτην ὑπὸ γούνατα· πᾶσα δ ἐκλάσθη
κνήμη δεξιτερή, πέσε δ' ὕπτιος ἐν κονίῃσιν.
Κραυγασίδης δ' ἤμυνε καὶ ἰθὺς βαῖνεν ἐπ' αὐτόν,
τύψε δέ μιν μέσσην κατὰ γαστέρα· πᾶς δέ οἱ εἴσω 245
ὀξύσχοινος ἔδυνε, χαμαὶ δ' ἔκχυντο ἅπαντα
ἔγκατ' ἐφελκομένῳ ὑπὸ δούρατι χειρὶ παχείῃ.
Τρωξάρτης δ' ἔβαλεν Φυσίγναθον ἐς πόδα ἄκρον·
σκάζων δ' ἐκ πολέμου ἀνεχάζετο, τείρετο δ' αἰνῶς·
ἥλατο δ' ἐς τάφρους, ὅππως φύγῃ αἰπὺν ὄλεθρον. 250
[ἔσχατα δ' ἐκ λίμνης ἀνεδύσατο, τείρετο δ' αἰνῶς.]
† Τρωξάρτης δ' ὡς εἶδεν ἔθ' ἡμίπνουν προπεσόντα,
καί οἱ ἐπέδραμεν αὖτις ἀποκτάμεναι μενεαίνων.
* * * * * * * * * * * * * * * * *
[ἦλθε διὰ προμάχων καὶ ἀκόντισεν ὀξέϊ σχοίνῳ·
οὐδ' ἔρρηξε σάκος, σχέτο δ' αὐτοῦ δουρὸς ἀκωκή. 255
τοῦ δ' ἔβαλε τρυφάλειαν ἀμύμονα καὶ τετράχυτρον
δῖος Ὀριγανίων, μιμούμενος αὐτὸν Ἄρηα,
ὃς μόνος ἐν βατράχοισιν ἀρίστευεν καθ' ὅμιλον·
ὥρμησεν δ' ἄρ' ἐπ' αὐτόν· ὁ δ' ὡς ἴδεν, οὐχ ὑπέμεινεν
ἥρωας κρατερούς, κατέδυ δ' ἐν βένθεσι λίμνης.] 260
Ἦν δέ τις ἐν μύεσιν Μεριδάρπαξ, ἔξοχος ἄλλων,

Digitized by Google

ἀγχέμαχος, φίλος υἱὸς ἀμύμονος Ἀρτεπιβούλου·
[οἴκαδ' ἰὼν πολέμοιο μετασχεῖν παῖδ' ἐκέλευσεν.]
* αὐτὸς δ' ἑστήκει γαυρούμενος οἷος ἀπ' ἄλλων,
* στεῦτο δὲ πορθήσειν βατράχων γένος αἰχμητάων. 265
[καὶ ῥήξας καρύου μέσσην ῥάχιν εἰς δύο μοίρας
φράγδην ἀμφοτέροισιν ἐν ὤμοις εἶλαρ ἔθηκεν·
οἱ δὲ τάχος δείσαντες ἔβαν πάντες κατὰ λίμνην.]
καί νύ κεν ἐξετέλεσσεν, ἐπεὶ μέγα οἱ σθένος ἦεν,
εἰ μὴ ἄρ' ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε. 270
καὶ τότ' ἀπολλυμένους βατράχους ᾤκτειρε Κρονίων,
κινήσας δὲ κάρη τοίην ἐφθέγξατο φωνήν·
Ὦ πόποι, ἦ μέγα ἔργον ἐν ὀφθαλμοῖσιν ὁρῶμαι·
† οὐ μικρὸν πλήσσει Μεριδάρπαξ, ὃς κατὰ λίμνην
ἅρπαξ ἐν βατράχοισιν ἀμείβεται. ἀλλὰ τάχιστα 275
Παλλάδα πέμψωμεν πολεμόκλονον ἠὲ καὶ Ἄρηα,
οἵ μιν ἐπισχήσουσι μάχης κρατερόν περ ἐόντα.
Ὣς ἄρ' ἔφη Κρονίδης, Ἥρη δ' ἀπαμείβετο μῦθον·
Οὔτ' ἄρ' Ἀθηναίης, Κρονίδη, σθένος οὔτε Ἄρηος
ἰσχύσει βατράχοισιν ἀρηγέμεν αἰπὺν ὄλεθρον. 280
ἀλλ' ἄγε πάντες ἴωμεν ἀρηγόνες· ἦ τὸ σὸν ὅπλον
κινείσθω μέγα Τιτανοκτόνον ὀβριμοεργόν,
ᾧ ποτε καὶ Καπανῆα κατέκτανες ὄβριμον ἄνδρα
καὶ μέγαν Ἐγκέλαδόν τε καὶ ἄγρια φῦλα Γιγάντων.
[κινείσθω· οὕτω γὰρ ἁλώσεται, ὅς τις ἄριστος.] 285
Ὣς ἄρ' ἔφη· Κρονίδης δ' ἔβαλε ψολόεντα κεραυνόν·
πρῶτα μὲν ἐβρόντησε, μέγαν δ' ἐλέλιξεν Ὄλυμπον,
αὐτὰρ ἔπειτα κεραυνόν, † δειμαλέον Διὸς ὅπλον,
ἦκ' ἐπιδινήσας· ὁ δ' ἄρ' ἔπτατο χειρὸς ἄνακτος.
* πάντας μέν ῥ' ἐφόβησε βαλὼν βατράχους τε μύας τε. 290
ἀλλ' οὐδ' ὣς ἀπέληγε μυῶν στρατός, ἀλλ' ἔτι μᾶλλον

Digitized by Google

ἔλπετο πορθήσειν βατράχων γένος αἰχμητάων,
εἰ μὴ ἀπ' Οὐλύμπου βατράχους ᾤκτειρε Κρονίων,
ὅς τοῖς φθειρομένοισιν ἀρωγοὺς εὐθὺς ἔπεμψεν.
ἦλθον δ' ἐξαίφνης νωτάκμονες, ἀγκυλοχῆλαι, 295
λοξοβάται, στρεβλοί, ψαλιδόστομοι, ὀστρακόδερμοι,
ὀστοφυεῖς, πλατύνωτοι, ἀποστίλβοντες ἐν ὤμοις,
βλαισοί, χειροτένοντες, ἀπὸ στέρνων ἐσορῶντες,
ὀκτάποδες, δικέραιοι, ἀτειρέες· οἱ δὲ καλεῦνται
καρκίνοι, οἵ ῥα μυῶν οὐρὰς στομάτεσσιν ἔκοπτον 300
ἠδὲ πόδας καὶ χεῖρας· ἀνεγνάμπτοντο δὲ λόγχαι.
τοὺς καὶ ὑπέδδεισαν πάντες μύες, οὐδ' ἔτ' ἔμειναν,
ἐς δὲ φυγὴν ἐτράποντο. ἐδύσετο δ' ἥλιος ἤδη,
καὶ πολέμου τελετὴ μονοήμερος ἐξετελέσθη.

III. Hesiodus.

De aetate poetae discrepat inter auctores. Homeri fere aequalem eum ducit Herodotus (II 53): *Ἡσίοδον καὶ Ὅμηρον ἡλικίην τετρακοσίοισι ἔτεσι δοκέω μευ πρεσβυτέρους γενέσθαι καὶ οὐ πλέοσι.* Patriam Ascraeus ipse *contumeliosissime testatur*, addens Cyma ex urbe Aeoliae patrem in Boeotiam transvectum esse (Op. 635): *ὅς ποτε* (sc. pater Hesiodi) *καὶ τῆδ' ἦλθε πολὺν διὰ πόντον ἀνύσσας, Κύμην Αἰολίδα προλιπών, ἐν νηῒ μελαίνῃ, — Νάσσατο δ' ἄγχ' Ἑλικῶνος ὀϊζυρῇ ἐνὶ κώμῃ, Ἄσκρῃ, χεῖμα κακῇ, θέρει ἀργαλέῃ, οὐδέ ποτ' ἐσθλῇ.* Fratrem habuit Persen hominem fugientem laboris (Op. 299) eundemque litigiosum, quocum controversia erat poetae de hereditate. Fama est Hesiodum occisum esse prope Oeneonem Locrorum in area sacra Iovis Nemeaei, cum Nemeam Argivorum tamquam fatalem sibi defugiendam esse existimaret cfr. Thucyd. III 96. Orchomenii dicuntur oraculo moniti ossa poetae Naupacto in suos fines transtulisse (cfr. epigr. 75). — Poe-

Digitized by Google

mata Hesiodea exstant tria: *Ἔργα καὶ Ἡμέραι*, *Θεογονία*, *Ἀσπὶς Ἡρακλέους*, praeterea fragmenta carminum, quae Hesiodi nomine feruntur (velut *Κατάλογος γυναικῶν*, *Ἠοῖαι*, *Αἰγίμιος*, *Κήϋκος γάμος*, *Μελαμποδία*, alia).

ΕΡΓΑ ΚΑΙ ΗΜΕΡΑΙ.

1. [Oper. 11—41.]

Ἐρίδων γένη.

Οὐκ ἄρα μοῦνον ἔην Ἐρίδων γένος, ἀλλ' ἐπὶ γαῖαν
εἰσὶ δύω· τὴν μέν κεν ἐπαινέσσειε νοήσας,
ἡ δ' ἐπιμωμητή· διὰ δ' ἄνδιχα θυμὸν ἔχουσιν.
ἡ μὲν γὰρ πόλεμόν τε κακὸν καὶ δῆριν ὀφέλλει,
σχετλίη· οὔ τις τήν γε φιλεῖ βροτός, ἀλλ' ὑπ' ἀνάγκης 5
ἀθανάτων βουλῇσιν Ἔριν τιμῶσι βαρεῖαν,
τὴν δ' ἑτέρην προτέρην μὲν ἐγείνατο Νὺξ ἐρεβεννή,
θῆκε δέ μιν Κρονίδης ὑψίζυγος, αἰθέρι ναίων,
γαίης τ' ἐν ῥίζῃσι καὶ ἀνδράσι πολλὸν ἀμείνω·
ἥ τε καὶ ἀπάλαμόν περ ὁμῶς ἐπὶ ἔργον ἐγείρει. 10
εἷς ἕτερον γάρ τίς τε ἰδὼν ἔργοιο χατίζων
πλούσιον, ὁ σπεύδει μὲν ἀρόμμεναι ἠδὲ φυτεύειν
οἶκόν τ' εὖ θέσθαι, ζηλοῖ δέ τε γείτονα γείτων
εἰς ἄφενον σπεύδοντ'· ἀγαθὴ δ' Ἔρις ἥδε βροτοῖσι.
[καὶ κεραμεὺς κεραμεῖ κοτέει καὶ τέκτονι τέκτων, 15
καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ.]

Ὦ Πέρση, σὺ δὲ ταῦτα τεῷ ἐνικάτθεο θυμῷ,
μηδέ σ' Ἔρις κακόχαρτος ἀπ' ἔργου θυμὸν ἐρύκοι
νείκε' ὀπιπτεύοντ' ἀγορῆς ἐπακουὸν ἐόντα.
ὥρη γάρ τ' ὀλίγη πέλεται νεικέων τ' ἀγορέων τε, 20
ᾧ τινι μὴ βίος ἔνδον ἐπηετανὸς κατάκειται

Digitized by Google

ὡραῖος, τὸν γαῖα φέρει, Δημήτερος ἀκτήν.
τοῦ κε κορεσσάμενος νείκεα καὶ δῆριν ὀφέλλοι
κτήμασ' ἐπ' ἀλλοτρίοις· σοὶ δ' οὐκέτι δεύτερον ἔσται
ὧδ' ἔρδειν. ἀλλ' αὖθι διακρινώμεθα νεῖκος 25
ἰθείῃσι δίκαις, αἵ τ' ἐκ Διός εἰσιν ἄρισται.
ἤδη μὲν γὰρ κλῆρον ἐδασσάμεθ', ἄλλα τε πολλὰ
ἁρπάζων ἐφόρεις, μέγα κυδαίνων βασιλῆας
δωροφάγους, οἳ τήνδε δίκην ἐθέλουσι δικάσσαι, 30
νήπιοι· οὐδὲ ἴσασιν, ὅσῳ πλέον ἥμισυ παντός,
οὐδ' ὅσον ἐν μαλάχῃ τε καὶ ἀσφοδέλῳ μέγ' ὄνειαρ.

2. [Oper. 42—105.]

Πανδώρα.

Κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισι.
ῥηϊδίως γάρ κεν καὶ ἐπ' ἤματι ἐργάσσαιο,
ὥστε σέ κ' εἰς ἐνιαυτὸν ἔχειν καὶ ἀργὸν ἐόντα·
αἶψά κε πηδάλιον μὲν ὑπὲρ καπνοῦ καταθεῖο,
ἔργα βοῶν δ' ἀπόλοιτο καὶ ἡμιόνων ταλαεργῶν. 5
ἀλλὰ Ζεὺς ἔκρυψε χολωσάμενος φρεσὶν ᾗσιν,
ὅττι μιν ἐξαπάτησε Προμηθεὺς ἀγκυλομήτης·
τοὔνεκ' ἄρ' ἀνθρώποισιν ἐμήσατο κήδεα λυγρά.
κρύψε δὲ πῦρ· τὸ μὲν αὖτις ἐΰς παῖς Ἰαπετοῖο
ἔκλεψ' ἀνθρώποισι Διὸς πάρα μητιόεντος 10
ἐν κοίλῳ νάρθηκι, λαθὼν Δία τερπικέραυνον.
τὸν δὲ χολωσάμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἰαπετιονίδη, πάντων πέρι μήδεα εἰδώς,
χαίρεις πῦρ κλέψας καὶ ἐμὰς φρένας ἠπεροπεύσας,
σοί τ' αὐτῷ μέγα πῆμα καὶ ἀνδράσιν ἐσσομένοισι. 15
τοῖς δ' ἐγὼ ἀντὶ πυρὸς δώσω κακόν, ᾧ κεν ἅπαντες
τέρπωνται κατὰ θυμὸν ἑὸν κακὸν ἀμφαγαπῶντες.

Digitized by Google

Ὣς ἔφατ', ἐκ δ' ἐγέλασσε πατὴρ ἀνδρῶν τε θεῶν τε·
[Ἥφαιστον δ' ἐκέλευσε περικλυτὸν ὅττι τάχιστα
γαῖαν ὕδει φύρειν, ἐν δ' ἀνθρώπου θέμεν αὐδήν 20
καὶ σθένος, ἀθανάτοις δὲ θεοῖς εἰς ὦπα ἐΐσκειν
παρθενικῆς καλὸν εἶδος ἐπήρατον· αὐτὰρ Ἀθήνην
ἔργα διδασκῆσαι, πολυδαίδαλον ἱστὸν ὑφαίνειν·
καὶ χάριν ἀμφιχέαι κεφαλῇ χρυσέην Ἀφροδίτην
καὶ πόθον ἀργαλέον καὶ γυιοβόρους μελεδῶνας· 25
ἐν δὲ θέμεν κύνεόν τε νόον καὶ ἐπίκλοπον ἦθος
Ἑρμείαν ἤνωγε, διάκτορον Ἀργειφόντην.
ὣς ἔφαθ', οἱ δ' ἐπίθοντο Διὶ Κρονίωνι ἄνακτι.]
αὐτίκα δ' ἐκ γαίης πλάσσε κλυτὸς Ἀμφιγυήεις
παρθένῳ αἰδοίῃ ἴκελον Κρονίδεω διὰ βουλάς. 30
ζῶσε δὲ καὶ κόσμησε θεὰ γλαυκῶπις Ἀθήνη,
ἀμφὶ δέ οἱ Χάριτές τε θεαὶ καὶ πότνια Πειθὼ
ὅρμους χρυσείους ἔθεσαν χροΐ, ἀμφὶ δὲ τήν γε
Ὧραι καλλίκομοι στέφον ἄνθεσιν εἰαρινοῖσι.
[πάντα δέ οἱ χροΐ κόσμον ἐφήρμοσε Παλλὰς Ἀθήνη.] 35
ἐν δ' ἄρα οἱ στήθεσσι διάκτορος Ἀργειφόντης
ψεύδεά θ' αἱμυλίους τε λόγους καὶ ἐπίκλοπον ἦθος
τεῦξε Διὸς βουλῇσι βαρυκτύπου, ἐν δ' ἄρα φωνὴν
θῆκε θεῶν κῆρυξ· ὀνόμηνε δὲ τήνδε γυναῖκα
Πανδώρην, ὅτι πάντες Ὀλύμπια δώματ' ἔχοντες 40
δῶρον ἐδώρησαν, πῆμ' ἀνδράσιν ἀλφηστῇσιν.
αὐτὰρ ἐπεὶ δόλον αἰπὺν ἀμήχανον ἐξετέλεσσεν,
εἰς Ἐπιμηθέα πέμπε πατὴρ κλυτὸν Ἀργειφόντην
δῶρον ἄγοντα θεῶν, ταχὺν ἄγγελον· οὐδ' Ἐπιμηθεὺς
ἐφράσαθ', ὥς οἱ ἔειπε Προμηθεὺς μή ποτε δῶρον 45
δέξασθαι παρ Ζηνὸς Ὀλυμπίου, ἀλλ' ἀποπέμπειν

Digitized by Google

ἐξοπίσω, μή πού τι κακὸν θνητοῖσι γένηται.
αὐτὰρ ὁ δεξάμενος, ὅτε δὴ κακὸν εἶχ', ἐνόησε.
Πρὶν μὲν γὰρ ζώεσκον ἐπὶ χθονὶ φῦλ' ἀνθρώπων
νόσφιν ἄτερ τε κακῶν καὶ ἄτερ χαλεποῖο πόνοιο 50
νούσων τ' ἀργαλέων, αἳ τ' ἀνδράσι κῆρας ἔδωκαν.
[αἶψα γὰρ ἐν κακότητι βροτοὶ καταγηράσκουσι.]
ἀλλὰ γυνὴ χείρεσσι πίθου μέγα πῶμ' ἀφελοῦσα
ἐσκέδασ'· ἀνθρώποισι δ' ἐμήσατο κήδεα λυγρά.
μούνη δ' αὐτόθι Ἐλπὶς ἐν ἀρρήκτοισι δόμοισιν 55
ἔνδον ἔμιμνε πίθου ὑπὸ χείλεσιν, οὐδὲ θύραζε
ἐξέπτη· πρόσθεν γὰρ ἐπέμβαλε πῶμα πίθοιο
αἰγιόχου βουλῇσι Διὸς νεφεληγερέταο·
ἄλλα δὲ μυρία λυγρὰ κατ' ἀνθρώπους ἀλάληται.
πλείη μὲν γὰρ γαῖα κακῶν, πλείη δὲ θάλασσα· 60
νοῦσοι δ' ἀνθρώποισιν ἐφ' ἡμέρῃ ἠδ' ἐπὶ νυκτί
αὐτόματοι φοιτῶσι, κακὰ θνητοῖσι φέρουσαι
σιγῇ, ἐπεὶ φωνὴν ἐξείλετο μητίετα Ζεύς.
[οὕτως οὔ τί πῃ ἔστι Διὸς νόον ἐξαλέασθαι.]

3. [Oper. 109—201.]

Γένη ἀνθρώπων.

Χρύσεον μὲν πρώτιστα γένος μερόπων ἀνθρώπων
ἀθάνατοι ποίησαν Ὀλύμπια δώματ' ἔχοντες.
οἱ μὲν ἐπὶ Κρόνου ἦσαν, ὅτ' οὐρανῷ ἐμβασίλευεν·
ὥστε θεοὶ δ' ἔζωον, ἀκηδέα θυμὸν ἔχοντες,
νόσφιν ἄτερ τε πόνων καὶ ὀϊζύος· οὐδέ τι δειλόν 5
γῆρας ἐπῆν, αἰεὶ δὲ πόδας καὶ χεῖρας ὁμοῖοι
τέρποντ' ἐν θαλίῃσι κακῶν ἔκτοσθεν ἁπάντων·
θνῆσκον δ' ὡς ὕπνῳ δεδμημένοι. ἐσθλὰ δὲ πάντα
τοῖσιν ἔην· καρπὸν δ' ἔφερε ζείδωρος ἄρουρα

Digitized by Google

αὐτομάτη, πολλόν τε καὶ ἄφθονον· οἱ δ' ἐθελημοί, 10
ἥσυχοι ἔργ' ἐνέμοντο σὺν ἐσθλοῖσιν πολέεσσιν.
[ἀφνειοὶ μήλοισι, φίλοι μακάρεσσι θεοῖσι.]
αὐτὰρ ἐπειδὴ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
τοὶ μὲν δαίμονές εἰσι Διὸς μεγάλου διὰ βουλάς
ἐσθλοὶ ἐπιχθόνιοι, φύλακες θνητῶν ἀνθρώπων, 15
[οἵ ῥα φυλάσσουσίν τε δίκας καὶ σχέτλια ἔργα,
ἠέρα ἑσσάμενοι πάντῃ φοιτῶντες ἐπ' αἶαν,]
πλουτοδόται· καὶ τοῦτο γέρας βασιλήϊον ἔσχον.

Δεύτερον αὖτε γένος πολὺ χειρότερον μετόπισθεν
ἀργύρεον ποίησαν Ὀλύμπια δώματ' ἔχοντες, 20
χρυσέῳ οὔτε φυὴν ἐναλίγκιον οὔτε νόημα.
ἀλλ' ἑκατὸν μὲν παῖς ἔτεα παρὰ μητέρι κεδνῇ
ἐτρέφετ' ἀτάλλων, μέγα νήπιος, ᾧ ἐνὶ οἴκῳ·
ἀλλ' ὅτ' ἀνηβήσειε καὶ ἥβης μέτρον ἵκοιτο,
παυρίδιον ζώεσκον ἐπὶ χρόνον, ἄλγε' ἔχοντες 25
ἀφραδίῃς· ὕβριν γὰρ ἀτάσθαλον οὐκ ἐδύναντο
ἀλλήλων ἀπέχειν, οὐδ' ἀθανάτους θεραπεύειν
ἤθελον οὐδ' ἔρδειν μακάρων ἱεροῖς ἐπὶ βωμοῖς,
ἣ θέμις ἀνθρώποισι κατ' ἤθεα. τοὺς μὲν ἔπειτα
Ζεὺς Κρονίδης ἔκρυψε χολούμενος, οὕνεκα τιμάς 30
οὐκ ἐδίδουν μακάρεσσι θεοῖς, οἳ Ὄλυμπον ἔχουσιν.
αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψε,
τοὶ μὲν ὑποχθόνιοι μάκαρες θνητοὶ καλέονται
δεύτεροι, ἀλλ' ἔμπης τιμὴ καὶ τοῖσιν ὀπηδεῖ.

Ζεὺς δὲ πατὴρ τρίτον ἄλλο γένος μερόπων ἀνθρώπων 35
χάλκειον ποίησ', οὐκ ἀργυρέῳ οὐδὲν ὁμοῖον,
ἐκ μελιῶν, δεινόν τε καὶ ὄβριμον, οἷσιν Ἄρηος
ἔργ' ἔμελε στονόεντα καὶ ὕβριες· οὐδέ τι σῖτον
ἤσθιον, ἀλλ' ἀδάμαντος ἔχον κρατερόφρονα θυμόν

Digitized by Google

ἄπλαστοι· μεγάλη δὲ βίη καὶ χεῖρες ἄαπτοι 40
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
τοῖς δ' ἦν χάλκεα μὲν τεύχεα, χάλκεοι δέ τε οἶκοι,
χαλκῷ δ' εἰργάζοντο· μέλας δ' οὐκ ἔσκε σίδηρος.
καὶ τοὶ μὲν χείρεσσιν ὕπο σφετέρῃσι δαμέντες
βῆσαν ἐς εὐρώεντα δόμον κρυεροῦ Ἀΐδαο, 45
νώνυμνοι· θάνατος δὲ καὶ ἐκπάγλους περ ἐόντας
εἷλε μέλας, λαμπρὸν δ' ἔλιπον φάος ἠελίοιο.

Αὐτὰρ ἐπεὶ καὶ τοῦτο γένος κατὰ γαῖα κάλυψεν,
αὖτις ἔτ' ἄλλο τέταρτον ἐπὶ χθονὶ πουλυβοτείρῃ
Ζεὺς Κρονίδης ποίησε, δικαιότερον καὶ ἄρειον, 50
ἀνδρῶν ἡρώων θεῖον γένος, οἳ καλέονται
ἡμίθεοι προτέρῃ γενεῇ κατ' ἀπείρονα γαῖαν.
καὶ τοὺς μὲν πόλεμός τε κακὸς καὶ φύλοπις αἰνή,
τοὺς μὲν ἐφ' ἑπταπύλῳ Θήβῃ, Καδμηΐδι γαίῃ,
ὤλεσε μαρναμένους μήλων ἕνεκ' Οἰδιπόδαο, 55
τοὺς δὲ καὶ ἐν νήεσσιν ὑπὲρ μέγα λαῖτμα θαλάσσης
ἐς Τροίην ἀγαγὼν Ἑλένης ἕνεκ' ἠϋκόμοιο·
ἔνθ' ἤτοι τοὺς μὲν θανάτου τέλος ἀμφεκάλυψε.
τοῖς δὲ δίχ' ἀνθρώπων βίοτον καὶ ἤθε' ὀπάσσας
Ζεὺς Κρονίδης κατένασσε πατὴρ ἐς πείρατα γαίης· 60
[τηλοῦ ἀπ' ἀθανάτων, τοῖσιν Κρόνος ἐμβασίλευε.]
καὶ τοὶ μὲν ναίουσιν ἀκηδέα θυμὸν ἔχοντες
ἐν μακάρων νήσοισι παρ' Ὠκεανὸν βαθυδίνην,
ὄλβιοι ἥρωες, τοῖσιν μελιηδέα καρπὸν
τρὶς ἔτεος θάλλοντα φέρει ζείδωρος ἄρουρα. 65

Μηκέτ' ἔπειτ' ὤφειλον ἐγὼ πέμπτοισι μετεῖναι
ἀνδράσιν, ἀλλ' ἢ πρόσθε θανεῖν ἢ ἔπειτα γενέσθαι.
νῦν γὰρ δὴ γένος ἐστὶ σιδήρεον, οὐδέ ποτ' ἦμαρ
παύσονται καμάτου καὶ ὀϊζύος οὐδέ τι νύκτωρ

Digitized by Google

φθειρόμενοι· χαλεπὰς δὲ θεοὶ δώσουσι μερίμνας. 70
[ἀλλ' ἔμπης καὶ τοῖσι μεμίξεται ἐσθλὰ κακοῖσιν.
Ζεὺς δ' ὀλέσει καὶ τοῦτο γένος μερόπων ἀνθρώπων,
εὖτ' ἂν γεινόμενοι πολιοκρόταφοι τελέθωσιν.]
οὐδὲ πατὴρ παίδεσσιν ὁμοίϊος οὐδέ τι παῖδες,
οὐδὲ ξεῖνος ξεινοδόκῳ καὶ ἑταῖρος ἑταίρῳ, 75
οὐδὲ κασίγνητος φίλος ἔσσεται, ὡς τὸ πάρος περ.
αἶψα δὲ γηράσκοντας ἀτιμήσουσι τοκῆας·
μέμψονται δ' ἄρα τοὺς χαλεποῖς βάζοντε ἔπεσσι,
σχέτλιοι, οὐδὲ θεῶν ὄπιν εἰδότες· οὐδέ κεν οἵ γε
γηράντεσσι τοκεῦσιν ἀπὸ θρεπτήρια δοῖεν, 80
χειροδίκαι· ἕτερος δ' ἑτέρου πόλιν ἐξαλαπάξει.
οὐδέ τις εὐόρκου χάρις ἔσσεται οὔτε δικαίου
οὔτ' ἀγαθοῦ, μᾶλλον δὲ κακῶν ῥεκτῆρα καὶ ὕβριν
ἀνέρα τιμήσουσι· δίκη δ' ἐν χερσί, καὶ αἰδώς
οὐκ ἔσται· βλάψει δ' ὁ κακὸς τὸν ἀρείονα φῶτα 85
μύθοισι σκολιοῖς ἐνέπων, ἐπὶ δ' ὅρκον ὀμεῖται.
ζῆλος δ' ἀνθρώποισιν ὀϊζυροῖσιν ἅπασιν
δυσκέλαδος, κακόχαρτος ὁμαρτήσει, στυγερώπης.
καὶ τότε δὴ πρὸς Ὄλυμπον ἀπὸ χθονὸς εὐρυοδείης
λευκοῖσιν φαρέεσσι καλυψαμένω χρόα καλόν 90
ἀθανάτων μετὰ φῦλον ἴτον προλιπόντ' ἀνθρώπους·
Αἰδὼς καὶ Νέμεσις· τὰ δὲ λείψεται ἄλγεα λυγρά
θνητοῖς ἀνθρώποισι· κακοῦ δ' οὐκ ἔσσεται ἀλκή.

4. [Op. 202—218.]

Αἶνος. Ἴρηξ καὶ ἀηδών.

[Νῦν δ' αἶνον βασιλεῦσιν ἐρέω φρονέουσι καὶ αὐτοῖς.]
ὧδ' ἴρηξ προσέειπεν ἀηδόνα ποικιλόδειρον,
ὕψι μάλ' ἐν νεφέεσσι φέρων ὀνύχεσσι μεμαρπώς·

Digitized by Google

ἡ δ' ἐλεόν, γναμπτοῖσι πεπαρμένη ἀμφ' ὀνύχεσσι,
μύρετο· τὴν δ' ὅ γ' ἐπικρατέως πρὸς μῦθον ἔειπε· 5
Δωιμονίη, τί λέληκας; ἔχει νύ σε πολλὸν ἀρείων·
τῇδ' εἶς, ᾗ σ' ἂν ἐγώ περ ἄγω καὶ ἀοιδὸν ἐοῦσαν·
δεῖπνον δ', αἴ κ' ἐθέλω, ποιήσομαι, ἠὲ μεθήσω.
[ἄφρων δ' ὅς κ' ἐθέλῃ πρὸς κρείσσονας ἀντιφερίζειν·
νίκης τε στέρεται πρός τ' αἴσχεσιν ἄλγεα πάσχει.] 10
Ὣς ἔφατ' ὠκυπέτης ἴρηξ, τανυσίπτερος ὄρνις.
Ὦ Πέρση, σὺ δ' ἄκουε δίκης, μηδ' ὕβριν ὄφελλε.
ὕβρις γάρ τε κακὴ δειλῷ βροτῷ· οὐδὲ μὲν ἐσθλὸς
ῥηϊδίως φερέμεν δύναται, βαρύθει δέ θ' ὑπ' αὐτῆς,
ἐγκύρσας ἄτῃσιν. ὁδὸς δ' ἑτέρηφι παρελθεῖν 15
κρείσσων ἐς τὰ δίκαια, δίκη δ' ὑπὲρ ὕβριος ἴσχει
ἐς τέλος ἐξελθοῦσα· παθὼν δέ τε νήπιος ἔγνω.

5. [Op. 286—372; 410—413; 706—723; 760—765.]

Γνῶμαι.

Σοὶ δ' ἐγὼ ἐσθλὰ νοέων ἐρέω, μέγα νήπιε Πέρση.
τὴν μέν τοι κακότητα καὶ ἰλαδὸν ἔστιν ἑλέσθαι
ῥηϊδίως· ὀλίγη μὲν ὁδός, μάλα δ' ἐγγύθι ναίει.
τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν·
ἀθάνατοι· μακρὸς δὲ καὶ ὄρθιος οἶμος ἐς αὐτήν 5
καὶ τρηχὺς τὸ πρῶτον· ἐπὴν δ' εἰς ἄκρον ἵκηται,
ῥηϊδίη δὴ ἔπειτα πέλει, χαλεπή περ ἐοῦσα.
Οὗτος μὲν πανάριστος, ὃς αὐτὸς πάντα νοήσῃ,
φρασσάμενος τά κ' ἔπειτα καὶ ἐς τέλος ᾖσιν ἀμείνων·
ἐσθλὸς δ' αὖ κἀκεῖνος, ὃς εὖ εἰπόντι πίθηται. 10
ὃς δέ κε μήτ' αὐτὸς νοέῃ μήτ' ἄλλου ἀκούων
ἐν θυμῷ βάλληται, ὁ δ' αὖτ' ἀχρήϊος ἀνήρ.
Ἀλλὰ σύ γ' ἡμετέρης μεμνημένος αἰὲν ἐφετμῆς

Digitized by Google

ἐργάζευ, Πέρση, δῖον γένος, ὄφρα σε λιμός
ἐῃδαίρῃ, φιλέῃ δέ σ' ἐϋστέφανος Δημήτηρ 15
αἰδοίη, βιότου δὲ τεὴν πιμπλῇσι καλιήν·
λιμὸς γάρ τοι πάμπαν ἀεργῷ σύμφορος ἀνδρί.
Τῷ δὲ θεοὶ νεμεσῶσι καὶ ἀνέρες, ὅς κεν ἀεργός
ζώῃ κηφήνεσσι κοθούροις εἴκελος ὀργήν,
οἵ τε μελισσάων κάματον τρύχουσιν ἀεργοί 20
ἔσθοντες· σοὶ δ' ἔργα φίλ' ἔστω μέτρια κοσμεῖν,
ὥς κέ τοι ὡραίου βιότου πλήθωσι καλιαί.
Ἐξ ἔργων δ' ἄνδρες πολύμηλοί τ' ἀφνειοί τε·
καί τ' ἐργαζόμενος πολὺ φίλτερος ἀθανάτοισιν.
[ἔσσεαι ἠδὲ βροτοῖς· μάλα γὰρ στυγέουσιν ἀεργούς.] 25
Ἔργον δ' οὐδὲν ὄνειδος, ἀεργίη δέ τ' ὄνειδος.
Εἰ δέ κεν ἐργάζῃ, τάχα σε ζηλώσει ἀεργός
πλουτεῦντα· πλούτῳ δ' ἀρετὴ καὶ κῦδος ὀπηδεῖ.
* Δαίμονι', εὖ τό γε ἴσθι, τὸ ἐργάζεσθαι ἄμεινον,
εἴ κεν ἀπ' ἀλλοτρίων κτεάνων ἀεσίφρονα θυμόν 30
εἰς ἔργον τρέψας μελετᾷς βίου, ὥς σε κελεύω.
Αἰδὼς δ' οὐκ ἀγαθὴ κεχρημένον ἄνδρα κομίζει.
[αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησιν.]
Αἰδώς τοι πρὸς ἀνολβίῃ, θάρσος δὲ πρὸς ὄλβῳ.
Χρήματα δ' οὐχ ἁρπακτά, θεόςδοτα πολλὸν ἀμείνω. 35
εἰ γάρ τις καὶ χερσὶ βίῃ μέγαν ὄλβον ἕληται
ἢ ὅ γ' ἀπὸ γλώσσης ληΐσσεται, οἷά τε πολλά
γίγνεται, εὖτ' ἂν δὴ κέρδος νόον ἐξαπατήσῃ
ἀνθρώπων, αἰδῶ δέ τ' ἀναιδείη κατοπάζῃ·
ῥεῖα δέ μιν μαυροῦσι θεοί, μινύθουσι δὲ οἶκον 40
ἀνέρι τῷ, παῦρον δέ τ' ἐπὶ χρόνον ὄλβος ὀπηδεῖ.
Ἴσον δ' ὅς θ' ἱκέτην ὅς τε ξεῖνον κακὸν ἔρξῃ,
ὅς τε κασιγνήτοιο ἑοῦ ἀνὰ δέμνια βαίνῃ

Digitized by Google

[κρυπταδίης εὐνῆς ἀλόχου, παρακαίρια ῥέζων,]
ὅς τε δι' ἀφραδίης ἀλιταίνεται ὀρφανὰ τέκνα, 45
ὅς τε γονῆα γέροντα κακῷ ἐπὶ γήραος οὐδῷ
νεικείῃ χαλεποῖσι καθαπτόμενος ἐπέεσσιν·
τῷ δ' ἤτοι Ζεὺς αὐτὸς ἀγαίεται, ἐς δὲ τελευτὴν
ἔργων ἀντ' ἀδίκων χαλεπὴν ἐπέθηκεν ἀμοιβήν.
Ἀλλὰ σὺ τῶν μὲν πάμπαν ἔεργ' ἀεσί φρονα θυμόν. 50
κὰδ δύναμιν δ' ἔρδειν ἱέρ' ἀθανάτοισι θεοῖσιν
ἁγνῶς καὶ καθαρῶς, ἐπὶ δ' ἀγλαὰ μηρία καίειν·
ἄλλοτε δὲ σπονδῇς θυέεσσί τε ἱλάσκεσθαι,
ἠμὲν ὅτ' εὐνάζῃ καὶ ὅτ' ἂν φάος ἱερὸν ἔλθῃ,
ὥς κέ τοι ἵλαον κραδίην καὶ θυμὸν ἔχωσιν, 55
ὄφρ' ἄλλων ὠνῇ κλῆρον, μὴ τὸν τεὸν ἄλλος.
Τὸν φιλέοντ' ἐπὶ δαῖτα καλεῖν, τὸν δ' ἐχθρὸν ἐᾶσαι·
τὸν δὲ μάλιστα καλεῖν, ὅστις σέθεν ἐγγύθι ναίει·
εἰ γάρ τοι καὶ χρῆμ' ἐγκώμιον ἄλλο γένοιτο,
γείτονες ἄζωστοι ἔκιον, ζώσαντο δὲ πηοί. 60
Πῆμα κακὸς γείτων, ὅσσον τ' ἀγαθὸς μέγ' ὄνειαρ.
Ἔμμορέ τοι τιμῆς ὅς τ' ἔμμορε γείτονος ἐσθλοῦ.
Οὐδ' ἂν βοῦς ἀπόλοιτ', εἰ μὴ γείτων κακὸς εἴη.
Εὖ μὲν μετρεῖσθαι παρὰ γείτονος, εὖ δ' ἀποδοῦναι,
αὐτῷ τῷ μέτρῳ καὶ λώϊον, αἴ κε δύνηαι, 65
ὡς ἂν χρηΐζων καὶ ἐς ὕστερον ἄρκιον εὕρῃς.
Μὴ κακὰ κερδαίνειν· κακὰ κέρδεα ἶσ' ἄτῃσιν.
Τὸν φιλέοντα φιλεῖν καὶ τῷ προσιόντι προσεῖναι·
καὶ δόμεν ὅς κεν δῷ, καὶ μὴ δόμεν ὅς κεν μὴ δῷ.
Δώτῃ μέν τις ἔδωκεν, ἀδώτῃ δ' οὔτις ἔδωκεν. 70
Δῶς ἀγαθή, ἅρπαξ δὲ κακή, θανάτοιο δότειρα.
Ὃς μὲν γάρ κεν ἀνὴρ ἐθέλων, ὅ γε, κἂν μέγα δώῃ,
χαίρει τῷ δώρῳ καὶ τέρπεται ὃν κατὰ θυμόν·

Digitized by Google

ὃς δέ κεν αὐτὸς ἕληται ἀναιδείῃφι πιθήσας,
καί τε σμικρὸν ἐόν, τό γ' ἐπάχνωσεν φίλον ἦτορ. 75
Εἰ γάρ κεν καὶ σμικρὸν ἐπὶ σμικρῷ καταθεῖο
καὶ θαμὰ τοῦτ' ἔρδοις, τάχα κεν μέγα καὶ τὸ γένοιτο.
Ὃς δ' ἐπ' ἐόντι φέρει, ὁ δ' ἀλύξεται αἴθοπα λιμόν·
οὐδὲ τό γ' ἐν οἴκῳ κατακείμενον ἀνέρα κήδει.
Οἴκοι βέλτερον εἶναι, ἐπεὶ βλαβερὸν τὸ θύρηφιν. 80
Ἐσθλὸν μὲν παρεόντος ἑλέσθαι, πῆμα δὲ θυμῷ
χρηΐζειν ἀπεόντος, ἅ σε φράζεσθαι ἄνωγα.
Ἀρχομένου δὲ πίθου καὶ λήγοντος κορέσασθαι,
μεσσόθι φείδεσθαι· δειλὴ δ' ἐνὶ πυθμένι φειδώ.
[Μισθὸς δ' ἀνδρὶ φίλῳ εἰρημένος ἄρκιος ἔστω. 85
Καί τε κασιγνήτῳ γελάσας ἐπὶ μάρτυρα θέσθαι·
πίστεις γὰρ θάμ' ὁμῶς καὶ ἀπιστίαι ὤλεσαν ἄνδρας.]
410 Μηδ' ἀναβάλλεσθαι ἔς τ' αὔριον ἔς τ' ἔννηφιν·
οὐ γὰρ ἐτωσιοεργὸς ἀνὴρ πίμπλησι καλιήν
οὐδ' ἀναβαλλόμενος· μελέτη δέ τοι ἔργον ὀφέλλει. 90
αἰεὶ δ' ἀμβολιεργὸς ἀνὴρ ἄτῃσι παλαίει.
706 Εὖ δ' ὅπιν ἀθανάτων μακάρων πεφυλαγμένος εἶναι.
Μηδὲ κασιγνήτῳ ἶσον ποιεῖσθαι ἑταῖρον·
εἰ δέ κε ποιήσῃς, μή μιν πρότερος κακὸν ἔρξῃς,
μηδὲ ψεύδεσθαι γλώσσης χάριν· εἰ δέ σέ γ' ἄρχῃ 95
ἤ τι ἔπος εἰπὼν ἀποθύμιον ἠὲ καὶ ἔρξας,
δὶς τόσα τίνυσθαι μεμνημένος· εἰ δέ κεν αὖτις
ἡγῆτ' ἐς φιλότητα, δίκην δ' ἐθέλῃσι παρασχεῖν,
δέξασθαι. δειλός τοι ἀνὴρ φίλον ἄλλοτε ἄλλον
ποιεῖται, σὲ δὲ μή τι νόον κατελεγχέτω εἶδος. 100
Μηδὲ πολύξεινον μηδ' ἄξεινον καλέεσθαι,
μηδὲ κακῶν ἕταρον μηδ' ἐσθλῶν νεικητῆρα.
Μηδέ ποτ' οὐλομένην πενίην θυμοφθόρον ἀνδρί

Digitized by Google

τέτλαθ' ὀνειδίζειν, μακάρων δόσιν αἰὲν ἐόντων.
Γλώσσης τοι θησαυρὸς ἐν ἀνθρώποισιν ἄριστος 105
φειδωλῆς, πλείστη δὲ χάρις κατὰ μέτρον ἰούσης.
Εἰ δὲ κακὸν εἴποις, τάχα κ' αὐτὸς μεῖζον ἀκούσαις.
Μηδὲ πολυξείνου δαιτὸς δυσπέμφελος εἶναι
ἐκ κοινοῦ· πλείστη δὲ χάρις δαπάνη τ' ὀλιγίστη.
760 Ὧδ' ἔρδειν· δεινὴν δὲ βροτῶν ὑπαλεύεο φήμην. 110
φήμη γάρ τε κακὴ πέλεται κούφη μὲν ἀεῖραι
ῥεῖα μάλ', ἀργαλέη δὲ φέρειν, χαλεπὴ δ' ἀποθέσθαι.
Φήμη δ' οὔ τις πάμπαν ἀπόλλυται, ἥν τινα πολλοί
λαοὶ φημίζουσι· θεός νύ τις ἐστι καὶ αὐτή.

ΘΕΟΓΟΝΙΑ.

---

1. [Theog. 1—4; 22—35.]

Προοίμιον.

Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν,
αἵ θ' Ἑλικῶνος ἔχουσιν ὄρος μέγα τε ζάθεόν τε,
καί τε περὶ κρήνην ἰοειδέα πόσσ' ἁπαλοῖσιν
ὀρχεῦνται καὶ βωμὸν ἐρισθενέος Κρονίωνος.
22 αἵ νύ ποθ' Ἡσίοδον καλὴν ἐδίδαξαν ἀοιδήν, 5
ἄρνας ποιμαίνονθ' Ἑλικῶνος ὕπο ζαθέοιο.
τόνδε δέ με πρώτιστα θεαὶ πρὸς μῦθον ἔειπον,
Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διὸς αἰγιόχοιο·
Ποιμένες ἄγραυλοι, κάκ' ἐλέγχεα, γαστέρες οἶον,
ἴδμεν ψεύδεα πολλὰ λέγειν ἐτύμοισιν ὁμοῖα, 10
ἴδμεν δ', εὖτ' ἐθέλωμεν, ἀληθέα γηρύσασθαι.

Digitized by Google

Ὣς ἔφασαν κοῦραι μεγάλου Διὸς ἀρτιέπειαι·
καί μοι σκῆπτρον ἔδον δάφνης ἐριθηλέος ὄζον
δρέψασαι θηητόν, ἐνέπνευσαν δέ μοι αὐδήν
θέσπιν, ἵνα κλείοιμι τά τ' ἐσσόμενα πρό τ' ἐόντα· 15
καί με κέλονθ' ὑμνεῖν μακάρων γένος αἰὲν ἐόντων,
σφᾶς δ' αὐτὰς πρῶτόν τε καὶ ὕστερον αἰὲν ἀείδειν.
ἀλλὰ τίη μοι ταῦτα περὶ δρῦν ἢ περὶ πέτρην;

2. [Theog. 617—735.]

Τιτανομαχία.

Ὀβριάρεῳ δ' ὡς πρῶτα πατὴρ ὠδύσσατο θυμῷ
Κόττῳ τ' ἠδὲ Γύῃ, δῆσε κρατερῷ ἐνὶ δεσμῷ,
ἠνορέην ὑπέροπλον ἀγώμενος ἠδὲ καὶ εἶδος
καὶ μέγεθος· κατένασσε δ' ὑπὸ χθονὸς εὐρυοδείης,
ἔνθ' οἵ γ' ἄλγε' ἔχοντες ὑπὸ χθονὶ ναιετάοντες 5
εἵατ' ἐπ' ἐσχατιῇ, μεγάλης ἐν πείρασι γαίης,
δηθὰ μάλ', ἀχνύμενοι, κραδίῃ μέγα πένθος ἔχοντες.
ἀλλά σφεας Κρονίδης τε καὶ ἀθάνατοι θεοὶ ἄλλοι,
οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνου ἐν φιλότητι,
Γαίης φραδμοσύνῃσιν ἀνήγαγον ἐς φάος αὖτις· 10
αὐτὴ γάρ σφιν ἅπαντα διηνεκέως κατέλεξε,
σὺν κείνοις νίκην τε καὶ ἀγλαὸν εὖχος ἀρέσθαι.
δηρὸν γὰρ μάρναντο, πόνον θυμαλγέ' ἔχοντες,
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο
ἀντίον ἀλλήλοισι διὰ κρατερὰς ὑσμίνας, 15
οἱ μὲν ἀφ' ὑψηλῆς Ὄθρυος Τιτῆνες ἀγαυοί,
οἱ δ' ἄρ' ἀπ' Οὐλύμποιο θεοὶ δωτῆρες ἐάων,
οὓς τέκεν ἠΰκομος Ῥείη Κρόνῳ εὐνηθεῖσα.
οἵ ῥα τότ' ἀλλήλοισι, πόνον θυμαλγέ' ἔχοντες,
συνεχέως ἐμάχοντο δέκα πλείους ἐνιαυτούς· 20

Digitized by Google

οὐδέ τις ἦν ἔριδος χαλεπῆς λύσις οὐδὲ τελευτή
οὐδετέροις, ἶσον δὲ τέλος τέτατο πτολέμοιο.
ἀλλ' ὅτε δὴ * Κρονίδης σφι παρέσχεθεν ἄρματα πάντα,
νέκταρ τ' ἀμβροσίην τε, τά περ θεοὶ αὐτοὶ ἔδουσι,
πάντων ἐν στήθεσσιν ἀέξετο θυμὸς ἀγήνωρ. 25
[ὡς νέκταρ δ' ἐπάσαντο καὶ ἀμβροσίην ἐρατεινήν,]
δὴ τότε τοῖς μετέειπε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Κέκλυτέ μευ, Γαίης τε καὶ Οὐρανοῦ ἀγλαὰ τέκνα,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
ἤδη γὰρ μάλα δηρὸν ἐναντίοι ἀλλήλοισι 30
νίκης καὶ κράτεος πέρι μαρνάμεθ' ἤματα πάντα
Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐκγενόμεσθα.
ὑμεῖς δὲ μεγάλην τε βίην καὶ χεῖρας ἀάπτους
φαίνετε Τιτήνεσσιν ἐναντίον ἐν δαῖ λυγρῇ,
μνησάμενοι φιλότητος ἐνηέος, ὅσσα παθόντες 35
ἐς φάος ἂψ ἀφίκεσθε δυσηλεγέος ἀπὸ δεσμοῦ
ἡμετέρας διὰ βουλὰς ὑπὸ ζόφου ἠερόεντος.
Ὣς φάτο, τὸν δ' ἐξαῦτις ἀμείβετο Κόττος ἀμύμων·
Δαιμόνι', οὐκ ἀδάητα πιφαύσκεαι, ἀλλὰ καὶ αὐτοί
ἴδμεν, ὅ τοι περὶ μὲν πραπίδες, περὶ δ' ἐστὶ νόημα, 40
ἀλκτὴρ δ' ἀθανάτοισιν ἀρῆς γένεο κρυεροῖο·
σῇσι δ' ἐπιφροσύνῃσιν ὑπὸ ζόφου ἠερόεντος
ἄψορρον δεῦρ' αὖτις ἀμειλίκτων ἀπὸ δεσμῶν
ἠλύθομεν, Κρόνου υἱὲ ἄναξ, ἀνάελπτα παθόντες.
τῷ καὶ νῦν ἀτενεῖ τε νόῳ καὶ ἐπίφρονι βουλῇ 45
ῥυσόμεθα κράτος ὑμὸν ἐν αἰνῇ δηϊοτῆτι,
μαρνάμενοι Τιτῆσιν ἀνὰ κρατερὰς ὑσμίνας.
Ὣς φάτ'· ἐπήνησαν δὲ θεοί, δωτῆρες ἐάων,
μῦθον ἀκούσαντες· πολέμου δ' ἐλιλαίετο θυμός
μᾶλλον ἔτ' ἤ τὸ πάροιθε· μάχην δ' ἀμέγαρτον ἔγειραν 50

Digitized by Google

πάντες, θήλειαί τε καὶ ἄρσενες, ἤματι κείνῳ,
[Τιτῆνές τε θεοὶ καὶ ὅσοι Κρόνου ἐξεγένοντο,]
οὕς τε Ζεὺς Ἐρέβεσφιν ὑπὸ χθονὸς ἧκε φόωσδε,
δεινοί τε κρατεροί τε, βίην ὑπέροπλον ἔχοντες·
τῶν ἑκατὸν μὲν χεῖρες ἀπ' ὤμων ἀΐσσοντο 55
πᾶσιν ὁμῶς, κεφαλαὶ δὲ ἑκάστῳ πεντήκοντα
ἐξ ὤμων ἐπέφυκον ἐπὶ στιβαροῖσι μέλεσσιν.
οἳ τότε Τιτήνεσσι κατέσταθεν ἐν δαῖ λυγρῇ,
πέτρας ἠλιβάτους στιβαρῇς ἐν χερσὶν ἔχοντες.
Τιτῆνες δ' ἑτέρωθεν ἐκαρτύναντο φάλαγγας 60
προφρονέως, χειρῶν τε βίης θ' ἅμα ἔργον ἔφαινον
ἀμφότεροι. δεινὸν δὲ περίαχε πόντος ἀπείρων,
γῆ δὲ μέγ' ἐσμαράγησεν, ἐπέστενε δ' οὐρανὸς εὐρύς
σειόμενος, πεδόθεν δ' ἐτινάσσετο μακρὸς Ὄλυμπος
ῥιπῇ ὑπ' ἀθανάτων, ἔνοσις δ' ἵκανε βαρεῖα 65
Τάρταρον ἠερόεντα † ποδῶν αἰπεῖά τ' ἰωή
ἀσπέτου ἰωχμοῖο βολάων τε κρατεράων·
ὣς ἄρ' ἐπ' ἀλλήλοις ἵεσαν βέλεα στονόεντα.
φωνὴ δ' ἀμφοτέρων ἵκετ' οὐρανὸν ἀστερόεντα
κεκλομένων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ. 70
οὐδ' ἄρ' ἔτι Ζεὺς ἴσχεν ἑὸν μένος, ἀλλά νυ τοῦ γε
εἶθαρ μὲν μένεος πλῆντο φρένες, ἐκ δέ τε πᾶσαν
φαῖνε βίην· ἄμυδις δ' ἄρ' ἀπ' οὐρανοῦ ἠδ' ἀπ' Ὀλύμπου
ἀστράπτων ἔστειχε συνωχαδόν· οἱ δὲ κεραυνοί
ἵκταρ ἅμα βροντῇ τε καὶ ἀστεροπῇ ποτέοντο 75
χειρὸς ἄπο στιβαρῆς, ἱερὴν φλόγα εἰλυφόωντες,
ταρφέες. ἀμφὶ δὲ γαῖα φερέσβιος ἐσμαράγιζεν
καιομένη, λάκε δ' ἀμφὶ περὶ μεγάλ' ἄσπετος ὕλη·
ἔζεε δὲ χθὼν πᾶσα καὶ Ὠκεανοῖο ῥέεθρα
πόντος τ' ἀτρύγετος. τοὺς δ' ἄμφεπε θερμὸς ἀϋτμή 80

Digitized by Google

Τιτῆνας χθονίους· φλὸξ δ' ἠέρα δῖαν ἵκανεν
ἄσπετος, ὄσσε δ' ἄμερδε καὶ ἰφθίμων περ ἐόντων
αὐγὴ μαρμαίρουσα κεραυνοῦ τε στεροπῆς τε.
καῦμα δὲ θεσπέσιον κάτεχεν Χάος· εἴσατο δ' ἄντα
ὀφθαλμοῖσιν ἰδεῖν ἠδ' οὔασιν ὄσσαν ἀκοῦσαι 85
αὔτως, ὡς ὅτε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν
πίλνατο· τοῖος γάρ κε μέγιστος δοῦπος ὀρώρει
τῆς μὲν ἐρειπομένης, τοῦ δ' ὑψόθεν ἐξεριπόντος·
τόσσος δοῦπος ἔγεντο θεῶν ἔριδι ξυνιόντων.
σὺν δ' ἄνεμοι ἔνοσίν τε κόνιν τ' ἄμυδις σφαράγιζον 90
[βροντήν τε στεροπήν τε καὶ αἰθαλόεντα κεραυνόν,
κῆλα Διὸς μεγάλοιο, φέρον δ' ἰαχήν τ' ἐνοπήν τε]
ἐς μέσον ἀμφοτέρων· ὄτοβος δ' ἄπλητος ὀρώρει
σμερδαλέης ἔριδος, κάρτος δ' ἀνεφαίνετο ἔργων.
ἐκλίνθη δὲ μάχη· πρὶν δ' ἀλλήλοις ἐπέχοντες 95
ἐμμενέως ἐμάχοντο διὰ κρατερὰς ὑσμίνας.
οἱ δ' ἄρ' ἐνὶ πρώτοισι μάχην δριμεῖαν ἔγειραν,
Κόττος τ' Ὀβριάρεώς τε Γύης τ' ἄατος πολέμοιο,
οἳ ῥα τριηκοσίας πέτρας στιβαρῶν ἀπὸ χειρῶν
πέμπον ἐπασσυτέρας, κατὰ δ' ἐσκίασαν βελέεσσι 100
Τιτῆνας· καὶ τοὺς μὲν ὑπὸ χθονὸς εὐρυοδείης
πέμψαν καὶ δεσμοῖσιν ἐν ἀργαλέοισιν ἔδησαν,
νικήσαντες χερσὶν ὑπερθύμους περ ἐόντας,
τόσσον ἔνερθ' ὑπὸ γῆς, ὅσον οὐρανός ἐστ' ἀπὸ γαίης·
ἶσον γάρ τ' ἀπὸ γῆς ἐς Τάρταρον ἠερόεντα. 105
[ἐννέα γὰρ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
οὐρανόθεν κατιὼν δεκάτῃ δ' ἐς γαῖαν ἵκοιτο·
ἐννέα δ' αὖ νύκτας τε καὶ ἤματα χάλκεος ἄκμων
ἐκ γαίης κατιὼν δεκάτῃ δ' ἐς Τάρταρ' ἵκοιτο.]
τὸν πέρι χάλκεον ἕρκος ἐλήλαται· ἀμφὶ δέ μιν νὺξ 110

Digitized by Google

τριστοιχεὶ κέχυται περὶ δειρήν, αὐτὰρ ὕπερθεν
γῆς ῥίζαι πεφύασι καὶ ἀτρυγέτοιο θαλάσσης.
ἔνθα θεοὶ Τιτῆνες ὑπὸ ζόφῳ ἠερόεντι
κεκρύφαται βουλῇσι Διὸς νεφεληγερέταο.
[χώρῳ ἐν εὐρώεντι, πελώρης ἔσχατα γαίης.] 115
τοῖς οὐκ ἔξιτόν ἐστι, πύλας δ' ἐπέθηκε Ποσειδῶν
χαλκείας, τεῖχος δὲ περοίχεται ἀμφοτέρωθεν.
ἔνθα Γύης Κόττος τε καὶ Ὀβριάρεως μεγάθυμος
ναίουσιν, φύλακες πιστοὶ Διὸς αἰγιόχοιο.

IV. Quintus Smyrnaeus (Calaber).

Quintus quo tempore et quo loco vixerit ambigitur. Smyrnaeum eum fuisse inde colligendum existimant, quod ipse se prope Smyrnam versantem ad versus pangendos a Musis impulsum esse dicit, confirmantque id testimonium frequentes quas carmini inseruit locorum descriptiones, quae splendidis coloribus insignes accuratiorem Asiae scientiam produnt (cf. 1). Calabri cognomen ex terra duxit, in qua poema Quinti, quod prope Hydruntum in templo D. Nicolai latuerat, a Bessarione repertum est. Aetas poetae videtur ad quartum p. Chr. saeculum maximeque ad imperium Iuliani referenda esse. Scripsit Posthomericorum (*τῶν μεθ' Ὅμηρον* sive *Παραλειπομένων Ὁμήρῳ*) libros XIV, quibus quae res ad Troiam post Hectoris interitum usque ad excidium urbis gestae sint itemque quae Graecis redeuntibus acciderint, Homeri vestigia presse secutus exposuit.

1. [Posth. I 293—306.]

De Sipylo monte.

— — — — ὑπαὶ Σιπύλῳ νιφόεντι,
ᾗχι θεοὶ Νιόβην λᾶαν θέσαν, ἧς ἔτι δάκρυ

πουλὺ μάλα στυφελῆς καταλείβεται ὑψόθι πέτρης·
καί οἱ συστοναχοῦσι φοαὶ πολυηχέος Ἕρμου
καὶ κορυφαὶ Σιπύλου περιμήκεες, ὧν καθύπερθεν 5
ἐχθρὴ μηλονόμοισιν ἀεὶ περιπέπτατ' ὀμίχλη.
ἡ δὲ πέλει μέγα θαῦμα παρεσσυμένοισι βροτοῖσιν,
οὕνεκ' ἔοικε γυναικὶ πολυστόνῳ, ἥ τ' ἐπὶ λυγρῷ
πένθεϊ μυρομένη μάλα μυρία δάκρυα χεύει.
καὶ τὸ μὲν ἀτρεκέως φῆς ἔμμεναι, ὁππότ' ἄρ' αὐτήν 10
τηλόθεν ἀθρήσειας· ἐπὴν δέ οἱ ἐγγὺς ἵκηαι,
φαίνεται αἰπήεσσα πέτρη Σιπύλοιό τ' ἀπορρώξ.
ἀλλ' ἡ μὲν μακάρων ὀλοὸν χόλον ἐκτελέουσα
μύρεται ἐν πέτρῃσιν ἔτ' ἀχνυμένη εἰκυῖα.

2. [Posth. XII 353—585.]

Describuntur fallaciae Sinonis, deinde sors Laocoontis.

Τρῶες δ' εἰςενόησαν ἐπ' ἠόσιν Ἑλλησπόντου
καπνὸν ἔτ' ἀΐσσοντα δι' ἠέρος, οὐδ' ἄρα νῆας
δέρκονθ', αἵ σφιν ἔνεικαν ἀφ' Ἑλλάδος αἰνὸν ὄλεθρον·
γηθόσυνοι δ' ἄρα πάντες ἐπέδραμον αἰγιαλοῖσι,
τεύχε' ἐφεσσάμενοι· ἔτι γὰρ δέος ἄμφεχε θυμόν. 5
ἵππον δ' εἰςενόησαν ἐΰξοον· ἀμφὶ δ' ἄρ' αὐτῷ
θάμβεον ἑσταότες· μάλα γὰρ μέγα ἔργον ἐτύχθη.
ἀγχόθι δ' αὖτε Σίνωνα δυσάμμορον εἰςενόησαν·
καί μιν ἀνειρόμενοι Δαναῶν ὕπερ ἄλλοθεν ἄλλος
μέσσον ἐκυκλώσαντο περισταδόν· ἀμφὶ δὲ μύθοις 10
μειλιχίοις εἴροντο πάρος, μετέπειτα δ' ὁμοκλῇ
σμερδαλέῃ, καὶ πολλὰ δολόφρονα φῶτα δάϊζον
πολλὸν ἐπὶ χρόνον αἰέν. ὁ δ' ἔμπεδον ἠΰτε πέτρη
μίμνεν ἀτειρέα γυῖ' ἐπιειμένος· ὀψὲ δ' ἄρ' αὐτοῦ

Digitized by Google

οὔαθ' ὁμῶς καὶ ῥῖνας ἀπὸ μελέων ἐτάμοντο 15
πάμπαν ἀεικίζοντες, ὅπως νημερτέα εἴπῃ,
ὅππῃ ἔβαν Δαναοὶ σὺν νήεσιν, ἤ τί καὶ ἵππος
ἔνδον ἐρητύεσκεν. ὁ δ' ἐνθέμενος φρεσὶ κάρτος
λώβης οὐκ ἀλέγιζεν ἀεικέος, ἀλλ' ἐνὶ θυμῷ
ἔτλη ὑπαὶ πληγῇσι καὶ ἐν πυρὶ τειρόμενός περ 20
ἀργαλέως· Ἥρη γὰρ ἐνέπνευσεν μέγα κάρτος·
τοῖα δ' ἄρ' ἐν μέσσοισι δολοφρονέων ἀγόρευεν·
Ἀργεῖοι μὲν νηυσὶν ὑπὲρ πόντοιο φέβονται,
μακρῷ ἀκηδήσαντες ἐπὶ πτολέμῳ καὶ ἀνίῃ.
Κάλχαντος δ' ἰότητι δαΐφρονι Τριτογενείῃ 25
ἵππον ἐτεκτήναντο, θεῆς χόλον ὄφρ' ἀλέωνται
πάγχυ κοτεσσαμένης Τρώων ὕπερ· ἀμφὶ δὲ νόστου
ἐννεσίῃς Ὀδυσῆος ἐμοὶ μενέαινον ὄλεθρον,
ὄφρα με δηώσωσι δυσηχέος ἄγχι θαλάσσης
δαίμοσιν εἰναλίοις. ἐμὲ δ' οὐ λάθον, ἀλλ' ἀλεγεινάς 30
σπονδάς τ' οὐλοχύτας τε μάλ' ἐσσυμένως ὑπαλύξας
ἀθανάτων βουλῇσι παραὶ ποσὶ κάππεσον ἵππου·
οἱ δὲ καὶ οὐκ ἐθέλοντες ἀναγκαίῃ με λίποντο,
ἁζόμενοι μεγάλοιο Διος κρατερόφρονα κούρην.
Ὣς φάτο κερδοσύνῃσι καὶ οὐ κάμεν ἄλγεσι θυμόν· 35
ἀνδρὸς γὰρ κρατεροῖο κακὴν ὑποτλῆναι ἀνάγκην.
τῶν δ' οἱ μὲν πεπίθοντο κατὰ στρατόν, οἱ δ' ἄρ' ἔφαντο
ἔμμεναι ἠπεροπῆα πολύτροπον, οἷς ἄρα βουλή
ἥνδανε Λαοκόωντος· ὁ γὰρ πεπνυμένα βάζων
φῆ δόλον ἔμμεναι αἰνὸν ὑπ' ἐννεσίῃσιν Ἀχαιῶν, 40
πάντας δ' ὀτρύνεσκε θοῶς ἐμπρησέμεν ἵππον,
ἵππον δουράτεον, καὶ γνώμεναι εἴ τι κεκεύθει.
καί νύ κέ οἱ πεπίθοντο καὶ ἐξήλυξαν ὄλεθρον,
εἰ μὴ Τριτογένεια, κοτεσσαμένη περὶ θυμῷ

Digitized by Google

αὐτῷ καὶ Τρώεσσι καὶ ἄστεϊ, γαῖαν ἔνερθεν 45
θεσπεσίην ἐλέλιξεν ὑπαὶ ποσὶ Λαοκόωντος.
τῷ δ' ἄφαρ ἔμπεσε δεῖμα, τρόμος δ' ἀμφέκλασε γυῖα
ἀνδρὸς ὑπερθύμοιο· μέλαινα δέ οἱ περὶ κρατί
νὺξ ἐχύθη· στυγερὸν δὲ κατὰ βλεφάρων πέσεν ἄλγος,
σὺν δ' ἔχεεν λασίῃσιν ὑπ' ὀφρύσιν ὄμματα φωτός. 50
γλῆναι δ' ἀργαλέῃσι πεπαρμέναι ἀμφ' ὀδύνῃσι
ῥιζόθεν ἐκλονέοντο, περιστρωφῶντο δ' ὀπωπαί
τειρόμεναι ὑπένερθεν· ἄχος δ' ἀλεγεινὸν ἵκανεν
ἄχρι καὶ ἐς μήνιγγας ἰδ' ἐγκεφάλοιο θέμεθλα.
τοῦ δ' ὁτὲ μὲν φαίνοντο μεμιγμένοι αἵματι πολλῷ 55
ὀφθαλμοί, ὁτὲ δ' αὖτε θυσαλθέα γλαυκιόωντες·
πολλάκι δ' ἔρρεον, οἷον ὅτε στυφελῆς ἀπὸ πέτρης
εἴβεται ἐξ ὀρέων νιφετῷ πεπαλαγμένον ὕδωρ.
μαινομένῳ δ' ἤϊκτο καὶ ἔδρακε διπλόα πάντα,
αἰνὰ μάλα στενάχων· καὶ ἔτι Τρώεσσι κέλευεν 60
οὐδ' ἀλέγιζε μόγοιο. φάος δέ οἱ ἐσθλὸν ἄμερσε
δῖα θεά· λευκαὶ δ' ἄρ' ὑπὸ βλέφαρ' ἔσταν ὀπωπαί
αἵματος ἐξ ὀλοοῖο. περιστενάχιζε δὲ λαός
οἰκτείρων φίλον ἄνδρα καὶ ἀθανάτην Ἀγελείην
ἐρριγώς, μὴ δή τι παρήλιτεν ἀφραδίῃσιν, 65
* οὕνεκα λωβήσαντο δέμας μογεροῖο Σίνωνος,
* ἐλπόμενοι κατὰ θυμὸν ἐτήτυμα πάντ' ἀγορεύειν.
* καί σφιν ἐς αἰνὸν ὄλεθρον ἀνεγνάμφθη νόος ἔνδον·
τοὔνεκα προφρονέως μιν ἄγον ποτὶ Τρώϊον ἄστυ
ὀψέ περ οἰκτείραντες. ἀγειρόμενοι δ' ἅμα πάντες 70
σειρὴν ἀμφεβάλοντο θοῶς περιμήκεϊ ἵππῳ
δησάμενοι καθύπερθεν, ἐπεί ῥά οἱ ἐσθλὸς Ἐπειός
ποσσὶν ὑπὸ βριαροῖσιν ἐΰτροχα δούρατ' ἔθηκεν,
ὄφρα κεν αἰζηοῖσιν ἐπὶ πτολίεθρον ἕπηται

Digitized by Google

ἑλκόμενος Τρώων ὑπὸ χείρεσσιν. οἱ δ' ἅμα πάντες 75
εἷλκον ἐπιβρίσαντες ἀολλέες, ἠΰτε νῆα
ἕλκωσιν μογέοντες ἔσω ἁλὸς ἠχηέσσης
αἴζηοί· στιβαραὶ δὲ περιστενάχουσι φάλαγγες
τριβόμεναι, δεινὸν δὲ τρόπις περιτετριγυῖα
ἀμφὶς ὀλισθαίνουσα κατέρχεται εἰς ἁλὸς οἶδμα. 80
ὣς οἵ γε σφίσι πῆμα ποτὶ πτόλιν ἔργον Ἐπειοῦ
πανσυδίῃ μογέοντες ἀνείρυον. ἀμφὶ δ' ἄρ' αὐτῷ
πολλὸν ἄδην στεφέων ἐριθηλέα κόσμον ἔθεντο,
αὐτοὶ δ' ἐστέψαντο κάρη· μέγα δ' ἤπυε λαός
ἀλλήλοις ἐπικεκλομένων. ἐγέλασσε δ' Ἐνυώ 85
δερκομένη πολέμοιο κακὸν τέλος, ὑψόθι δ' Ἥρη
τέρπετ', Ἀθηναίη δ' ἐπεγήθεεν. οἱ δὲ μολόντες
ἄστυ ποτὶ σφέτερον, μεγάλης κρήδεμνα πόληος
λυσάμενοι, λυγρὸν ἵππον ἐσήγαγον. αἱ δ' ὀλόλυξαν
Τρωϊάδες, πᾶσαι δὲ περισταδὸν εἰσορόωσαι 90
θάμβεον ὄβριμον ἔργον· ὁ δέ σφισιν ἔκρυφε πῆμα.

Λαοκόων δ' ἔτ' ἔμιμνεν ἐποτρύνων ἑτάροισιν
ἵππον ἀμαλδῦναι μαλερῷ πυρί· τοὶ δέ οἱ οὔτι
πείθοντ', ἀθανάτων γὰρ ὑποτρομέεσκον ὁμοκλήν.
τῷ δ' ἔπι κύντερον ἄλλο θεὰ μεγάθυμος Ἀθήνη 95
δυστήνοις τεκέεσσιν ἐμήδετο Λαοκόωντος.
δὴ γάρ που πέλεν ἄντρον ὑπὸ στυφελῷδεϊ πέτρῃ
ἠερόεν, θνητοῖσιν ἀνέμβατον, ᾧ ἔνι θῆρες
σμερδαλέοι ναίεσκον, ἔτ' οὐλομένοιο γενέθλης
Τυφῶνος, νήσοιο κατὰ πτύχας, ἥν τε Καλύδνην 100
λαοὶ ἐπικλείουσιν ἔσω ἁλὸς ἀντία Τροίης.
ἔνθεν ἀναστήσασα βίην καλέεσκε δρακόντων
ἐς Τροίην, οἱ δ' αἶψα θεῆς ὕπο κινηθέντες
νῆσον ἄδην ἐτίναξαν· ἐπεσμαράγησε δὲ πόντος

Digitized by Google

νισσομένων καὶ κῦμα διΐστατο· τοὶ δ' ἐφέροντο 105
αἰνὸν λιχμώωντες, ἔφριξε δὲ κήτεα πόντου·
ἀμφὶ δ' ἄρα στενάχοντο μέγα Ξάνθοιο θύγατρες
Νύμφαι καὶ Σιμόεντος, ἀπ' Οὐλύμποιο δὲ Κύπρις
ἄχνυτο. τοὶ δ' ἄφαρ ἶξον, ὅπῃ θεὸς ὀτρύνεσκε,
θήγοντες βλοσυρῇσι γενειάσι λοιγὸν ὀδόντων 110
δυστήνοις ἐπὶ παισί. κακὴ δ' ἐπενίσσετο φύζα
Τρῶας, ὅτ' εἰςενόησαν ἀνὰ πτόλιν αἰνὰ πέλωρα·
οὐδέ τις αἰζηῶν, οὐδ' εἰ μένος ἄτρομος ἦεν,
μεῖναι ἔτλη· πάντας γὰρ ἀμείλιχον ἄμφεχε δεῖμα
θῆρας ἀλευομένους, ὀδύνη δ' ἔχεν. ἂν δὲ γυναῖκες 115
οἴμωξον· καί πού τις ἑῶν ἐπελήσατο τέκνων
αὐτὴ ἀλευομένη στυγερὸν μόρον. ἀμφὶ δὲ Τροίη
ἔστεν' ἐπεσσυμένων· πολλοὶ δ' ἄφαρ εἰς ἓν ἰόντες
γυῖα περιδρύφθησαν, ἐνεστείνοντο δ' ἀγυιαῖς
ἀμφιπεριπτώσσοντες. ἔλειπτο δὲ μοῦνος ἄπωθε 120
Λαοκόων ἅμα παισί· πέδησε γὰρ οὐλομένη Κήρ
καὶ θεός. οἱ δέ οἱ υἷας ὑποτρομέοντας ὄλεθρον
ἀμφοτέρους ὀλοῇσιν ἀνηρείψαντο γένυσσι,
πατρὶ φίλῳ ὀρέγοντας ἑὰς χέρας· οὐδ' ὅ γ' ἀμύνειν
ἔσθενεν. ἀμφὶ δὲ Τρῶες ἀπόπροθεν εἰςορόωντες 125
κλαῖον ὑπὸ κραδίῃσι τεθηπότες. οἱ δ' ἄρ' Ἀθήνης
προφρονέως τελέσαντες ἀπεχθέα Τρωσὶν ἐφετμήν
ἄμφω ἀϊστώθησαν ὑπὸ χθόνα· τῶν δ' ἔτι σῆμα
φαίνεθ', ὅπου κατέδυσαν ἐς ἱερὸν Ἀπόλλωνος
Περγάμῳ ἐν ζαθέῃ. προπάροιθε δὲ Τρώϊοι υἷες 130
παίδων Λαοκόωντος ἀμείλιχα δηωθέντων
τεῦξαν ἅμ' ἀγρόμενοι κενεὸν τάφον, ᾧ ἔπι δάκρυ
χεῦε πατὴρ ἀλαοῖσιν ὑπ' ὄμμασιν· ἀμφὶ δὲ μήτηρ
πολλὰ κινυρομένη κενεῷ ἐπαΰτεε τύμβῳ,

Digitized by Google

ἐλπομένη τι καὶ ἄλλο κακώτερον, ἔστενε δ' ἄτην 135
ἀνέρος ἀφραδίῃς, μακάρων δ' ὑπεδείδιε μῆνιν.
ὡς δ' ὅτ' ἐρημαίην περιμύρεται ἀμφὶ καλιήν
πολλὰ μάλ' ἀχνυμένη κατὰ δάσκιον ἄγκος ἀηδών,
ἧς ἔτι νήπια τέκνα, πάρος κελαδεινὸν ἀείδειν,
δάμναθ' ὑπὸ γναθμοῖσι μένος βλοσυροῖο δράκοντος· 140
μητέρι δ' ἄλγεα θῆκε, καὶ ἄσπετον ἀσχαλόωσα
μύρεται ἀμφὶ δόμον κενεὸν μάλα κεκληγυῖα·
ὣς ἥ γε στενάχιζε λυγρὸν τεκέων ἐπ' ὀλέθρῳ
μυρομένη κενεῷ περὶ σήματι· σὺν δέ οἱ ἄλλο
πῆμα μάλ' ἀργαλέον πόσιος πέλεν ἀμφ' ἀλαοῖο. 145
καί ῥ' ἡ μὲν φίλα τέκνα καὶ ἀνέρα κωκύεσκε,
τοὺς μὲν ἀποφθιμένους, τὸν δ' ἄμμορον ἠελίοιο·
Τρῶες δ' ἀθανάτοισιν ἐπεντύνοντο θυηλάς
λείβοντες μέθυ λαρόν, ἐπεί σφισιν ἦτορ ἐώλπει
λευγαλέου πολέμοιο βαρὺ σθένος ἐξυπαλύξαι. 150
ἱερὰ δ' οὐ καίοντο, πυρὸς δ' ἐσβέννυτ' ἀϋτμή,
ὄμβρου ὅπως καθύπερθε δυσηχέος ἐσσυμένοιο·
καπνὸς δ' αἱματόεις ἀνεκήκιε. μῆρα δὲ πάντα
πῖπτε χαμαὶ τρομέοντα, κατηρείποντο δὲ βωμοί·
σπονδαὶ δ' αἷμα γένοντο· θεῶν δ' ἐξέρρεε δάκρυ, 155
καὶ νηοὶ δεύοντο λύθρῳ. στοναχαὶ δ' ἐφέροντο
ἔκποθεν ἀπροφάτοιο· περισσείοντο δὲ μακρά
τείχεα, καὶ πύργοι μεγάλ' ἔκτυπον, ὡς ἐτεόν περ
ἤδη περθομένης Δαναῶν ὑπὸ χερσὶ πόληος·
αὐτόματοι δ' ἄρ' ὀχῆες ἀνωΐγνυντο πυλάων,
αἰνὸν κεκλήγοντες· ἐπεστενάχοντο δὲ λυγρόν 160
ἐννύχιοι ὄρνιθες ἐρημαῖον βοόωντες.
ἄστρα δὲ πάντ' ἐφύπερθε θεοδμήτοιο πόληος
ἀχλὺς ἀμφεκάλυψε καὶ ἀννεφέλου περ ἐόντος

Digitized by Google

οὐρανοῦ αἰγλήεντος· ἀπαυαίνοντο δὲ δάφναι
πὰρ νηῷ Φοίβοιο πάρος θαλεραί περ ἐοῦσαι. 165
ἂν δὲ λύκοι καὶ θῶες ἀναιδέες ὠρύσαντο
ἔντοσθεν πυλέων· μάλα μυρία δ' ἄλλα φαάνθη
σήματα, Δαρδανίδῃσι καὶ ἄστεϊ πῆμα φέροντα.
ἀλλ' οὐ δεῖμ' ἀλεγεινὸν ὑπὸ Τρώων φρένας ἶξε
δερκομένων ἀλεγεινὰ τεράατα πάντα κατ' ἄστυ· 170
Κῆρες γὰρ πάντων νόον ἔκβαλον, ὄφρ' ἐπὶ δαιτί
πότμον ἀναπλήσωσιν ὑπ' Ἀργείοισι δαμέντες.

οἴη δ' ἔμπεδον ἦτορ ἔχεν πινυτόν τε νόημα
Κασσάνδρη, τῆς οὔ ποτ' ἔπος γένετ' ἀκράαντον,
ἀλλ' ἄρ' ἐτήτυμον ἔσκεν, ἀκούετο δ' ἔκ τινος αἴσης 175
ὡς ἀνεμώλιον αἰέν, ἵν' ἄλγεα Τρωσὶ γένηται.
ἣ ῥ' ὅτε σήματα λυγρὰ κατὰ πτόλιν εἰσενόησεν
εἰς ἓν ἅμ' ἀΐσσοντα, μέγ' ἴαχεν εὖτε λέαινα,
ἣν ῥά τ' ἐνὶ ξυλόχοισιν ἀνὴρ λελιημένος ἄγρης
οὐτάσῃ ἠὲ βάλῃ· τῆς δ' ἐν φρεσὶ μαίνεται ἦτορ, 180
βεβρυχυῖα δ' ἄρ' ἔσσυθ', ὑφ' ἕλκεϊ τειρομένη περ,
πάντῃ ἀν' οὔρεα μακρά, πέλει δέ οἱ ἄσχετος ἀλκή·
ὣς ἄρα μαιμώωσα θεοπρόπον ἔνδοθεν ἦτορ
ἤλυθεν ἐκ μεγάροιο· κόμαι δέ οἱ ἀμφεκέχυντο
ὤμοις ἀργυφέοισι μετάφρενον ἄχρις ἰοῦσαι·
ὄσσε δέ οἱ μάρμαιρεν ἀναιδέα· τῆς δ' ὑπὸ δειρή, 185
ἐξ ἀνέμων ἅτε πρέμνον, ἄδην ἐλελίζετο πάντῃ.
καί ῥα μέγα στενάχιζε καὶ ἴαχε παρθένος ἐσθλή·

Ἀ δειλοί, νῦν βῆμεν ὑπὸ ζόφον· ἀμφὶ γὰρ ἡμῖν
ἔμπλειον πυρὸς ἄστυ καὶ αἵματος ἠδὲ καὶ οἴκτου
λευγαλέου· πάντῃ δὲ τεράατα δακρυόεντα 190
ἀθάνατοι φαίνουσι, καὶ ἐν ποσὶ τέρματ' ὀλέθρου.
σχέτλιοι, οὐδέ τι ἴστε κακὸν μόρον, ἀλλ' ἅμα πάντες

Digitized by Google

χαίρετ' ἄρ' ἀφραδέοντες, οἳ ἠγάγετ' ἐς πόλιν αὐτοί
Ἀργείων λυγρὸν ἵππον· ὁ γὰρ μέγα πῆμα κέκευθεν.
ἀλλά μοι οὐ πείθεσθ', οὐδ' εἰ μάλα πόλλ' ἀγορεύω,
οὕνεκ' Ἐρινύες, ἄκρα γάμου κεχολωμέναι αἰνοῦ 195
ἀμφ' Ἑλένης, καὶ Κῆρες ἀμείλιχοι ἀΐσσουσι
πάντῃ ἀνὰ πτολίεθρον· ἐπ' εἰλαπίνῃ δ' ἀλεγεινῇ
δαίνυσθ' ὕστατα δόρπα κακῷ πεφορυγμένα λύθρῳ,
ἤδη ἐπιψαύοντες ὁμὴν ὁδὸν εἰδώλοισι.

Καί τις κερτομέων ὀλοφώϊον ἔκφατο μῦθον· 200
Ὦ κούρη Πριάμοιο, τίη νύ σε μάργος ἀνώγει
γλῶσσα κακοφραδίη τ' ἀνεμώλια πάντ' ἀγορεύειν;
οὐδέ σε παρθενικὴ καὶ ἀκήρατος ἀμφέχει αἰδώς,
ἀλλά σε λύσσ' ὀλοὴ περιδέδρομε· τῷ νύ σε πάντες
αἰὲν ἀτιμάζουσι βροτοὶ πολύμυθον ἐοῦσαν. 205
ἔρρε καὶ Ἀργείοισι κακὴν προτιόσσεο φήμην
ἠδ' αὐτῇ· τάχα γάρ σε καὶ ἀργαλεώτερον ἄλγος
μίμνει Λαοκόωντος ἀναιδέος· οὐ γὰρ ἔοικεν
ἀθανάτων φίλα δῶρα δαϊζέμεν ἀφραδέοντα.

Ὡς ἄρ' ἔφη Τρώων τις ἀνὰ πτόλιν, ὡς δὲ καὶ ἄλλοι 210
κούρην μωμήσαντο καὶ οὐ φάσαν ἄρτια βάζειν,
οὕνεκ' ἄρα σφίσι πῆμα καὶ ἀργαλέον μένος αἴσης
ἄγχι παρειστήκει· τοὶ δ' οὐ νοέοντες ὄλεθρον
κείνην κερτομέοντες ἀπέτρεπον εὐρέος ἵππου.
ἦ γάρ οἱ μενέαινε διὰ ξύλα πάντα κεδάσσαι 215
ἠὲ καταπρῆσαι μαλερῷ πυρί· τοὔνεκα πεύκης
αἰθομένης ἔτι δαλὸν ἀπ' ἐσχαρεῶνος ἑλοῦσα
ἔσσυτο μαιμώωσ', ἑτέρῃ δ' ἐν χειρὶ φέρεσκεν
ἀμφίτυπον βουπλῆγα· λυγροῦ δ' ἐπεμαίετο ἵππου,
ὄφρα λόχον στονόεντα καὶ ἀμφαδὸν ἀθρήσωσι 220
Τρῶες. τοὶ δέ οἱ αἶψα χερῶν ἀπονόσφι βαλοντες

Digitized by Google

πῦρ ὀλοόν τε σίδηρον ἀκηδέες ἐντύνοντο
δαῖτα λυγρήν· μάλα γάρ σφας ἐπήϊεν ὑστατίη νύξ.
Ἀργεῖοι δ' ἔντοσθεν ἐγήθεον εἰσαΐοντες
δαινυμένων ὅμαδον κατὰ Ἴλιον οὐδ' ἀλεγόντων 225
Κασσάνδρης, τήν ῥ' αὐτοὶ ἐθάμβεον, ὡς ἐτέτυκτο
ἀτρεκέως εἰδυῖα νόον καὶ μῆτιν Ἀχαιῶν.
ἡ δ', ἅτε πόρδαλις ἔσσυτ' ἐν οὔρεσιν ἀσχαλόωσα,
ἥν τ' ἀπὸ μεσσαύλοιο κύνες μογεροί τε νομῆες
σεύοντ' ἐσσυμένως, ἡ δ' ἄγριον ἦτορ ἔχουσα 230
ἐντροπαλιζομένη ἀναχάζεται ἀχνυμένη περ·
ὣς ἥ γ' εὐρέος ἵππου ἀπέσσυτο τειρομένη κῆρ
Τρώων ἀμφὶ φόνῳ· μάλα γὰρ μέγα δέχνυτο πῆμα.

Digitized by Google

Poetae Elegiaci.

I. Callinus.

Καλλῖνος Ephesius medio fere septimo a. Chr. saeculo, quo tempore Cimmerii in Asiam inruperunt (cfr. Herod. I 15), floruisse perhibetur; primus carmina elegiaca ad excitandam civium fortitudinem composuisse fertur.

Μέχρις τεῦ κατάκεισθε; κότ' ἄλκιμον ἕξετε θυμόν,
ὦ νέοι; οὐδ' αἰδεῖσθ' ἀμφιπεριπτίονας
ὧδε λίην μεθιέντες; ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.

* * *

καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω. 5
τιμῆέν τε γάρ ἐστι καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι καὶ παίδων κουριδίης τ' ἀλόχου
δυσμενέσιν· θάνατος δὲ τότ' ἔσσεται, ὁππότε κεν δή
Μοῖραι ἐπικλώσωσ'. ἀλλά τις ἰθὺς ἴτω
ἔγχος ἀνασχόμενος καὶ ὑπ' ἀσπίδος ἄλκιμον ἦτορ 10
ἕλσας, τὸ πρῶτον μιγνυμένου πολέμου.
οὐ γάρ κως θανάτόν γε φυγεῖν εἱμαρμένον ἐστίν
ἄνδρ', οὐδ' εἰ προγόνων ᾗ γένος ἀθανάτων.
πολλάκι δηϊοτῆτα φυγὼν καὶ δοῦπον ἀκόντων
† ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου. 15
ἀλλ' ὁ μὲν οὐκ ἔμπης δήμῳ φίλος οὐδὲ ποθεινός,

Digitized by Google

τὸν δ' ὀλίγος στενάχει καὶ μέγας, ἤν τι πάθῃ·
λαῷ γὰρ σύμπαντι πόθος κρατερόφρονος ἀνδρός
θνήσκοντος, ζώων δ' ἄξιος ἡμιθέων·
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν· 20
ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

II. Tyrtaeus.

Τύρταιος ab Aphidnis Atticis oriundus altero bello Messenio poeta elegiacus exstitit. Veteres eum, hominem pede claudum, Lacedaemoniis ab Atheniensibus belli ducem missum esse finxerunt, constat poetam carminibus id spectasse, ut intestinas discordias sedaret, cives ad Lycurgi disciplinam revocaret, milites belli ardore inflammaret (*Tyrtaeusque mares animos in Martia bella versibus exacuit*, Hor. epist. II 3, 402). Poemata eius elegiaca alia *Εὐνομία* (*Πολιτεία*), alia *Ὑποθῆκαι* inscribuntur. Eidem *Ἐμβατήρια* anapaestis composita tribuuntur.

ΕΥΝΟΜΙΑ.

1. [4.]

Φοίβου ἀκούσαντες Πυθωνόθεν οἶκαδ' ἔνεικαν
μαντείας τε θεοῦ καὶ τελέεντ' ἔπεα·
ἄρχειν μὲν βουλῆς θεοτιμήτους βασιλῆας,
οἷσι μέλει Σπάρτης ἱμερόεσσα πόλις,
πρεσβυγενεῖς τε γέροντας· ἔπειτα δὲ δημότας ἄνδρας 5
εὐθείαις ῥήτραις ἀνταπαμειβομένους
μυθεῖσθαί τε τὰ καλὰ καὶ ἔρδειν πάντα δίκαια
μηδ' ἐπιβουλεύειν τῇδε πόλει τι κακόν,
δήμου δὲ πλήθει νίκην καὶ κάρτος ἕπεσθαι·
Φοῖβος γὰρ περὶ τῶν ὧδ' ἀνέφηνε πόλει. 10

Digitized by Google

ΥΠΟΘΗΚΑΙ.

2. [10.]

Τεθνάμεναι γὰρ καλὸν ἐνὶ προμάχοισι πεσόντα
ἄνδρ' ἀγαθὸν περὶ ᾗ πατρίδι μαρνάμενον.
τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγρούς
πτωχεύειν πάντων ἔστ' ἀνιηρότατον,
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι 5
παισί τε σὺν μικροῖς κουριδίῃ τ' ἀλόχῳ.
ἐχθρὸς μὲν γὰρ τοῖσι μετέσσεται, οὓς κεν ἵκηται
χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ,
αἰσχύνει τε γένος, κατά τ' ἀγλαὸν εἶδος ἐλέγχει,
πᾶσα δ' ἀτιμία καὶ κακότης ἕπεται. 10
* *εἰ δ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὥρη*
* *γίγνεται οὔτ' αἰδὼς οὔτ' ὄπις οὔτ' ἔλεος,*
θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα καὶ περὶ παίδων
θνήσκωμεν ψυχέων μηκέτι φειδόμενοι. —
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες 15
μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε μηδὲ φόβου,
ἀλλὰ μέγαν ποιεῖσθε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν
μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι.
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
μὴ καταλείποντες φεύγετε λευγαλέως· 20
αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,
ἤδη λευκὸν ἔχοντα κάρη πολιόν τε γένειον,
θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
αἱματόεντ' αἰδοῖα φίλαις ἐν χερσὶν ἔχοντα — 25
αἰσχρὸν ἄρ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν —
καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ' ἐπέοικεν,
ὄφρ' ἐρατῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ·

Digitized by Google

ἀνδράσι μὲν θνητὸς ἰδεῖν, ἐρατὸς δὲ γυναιξίν,
ζωὸς ἐών, καλὸς δ' ἐν προμάχοισι πεσών. 30
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

3. [11.]

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ,
θαρσεῖτ', οὐκ ἐᾷ Ζεὺς αὐχένα λοξὸν ἔχειν·
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε μηδὲ φοβεῖσθε,
ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας 5
κῆρας ὁμῶς αὐγαῖς ἠελίοιο φίλας.
ἴστε γὰρ οἷ' Ἄρεος πολυδακρύου ἔργ' ἀΐδηλα,
εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου,
καὶ πρὸς φευγόντων τε διωκόντων τ' ἐγένεσθε,
ὦ νέοι, ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε. 10
οἳ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες
ἔς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
παυρότεροι θνήσκουσι, σαοῦσι δὲ λαὸν ὀπίσσω·
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα, 15
ὅσσ', ἢν αἰσχρὰ πάθῃ, γίγνεται ἀνδρὶ κακά.
ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ·
αἰσχρὸς δ' ἐστὶ νέκυς κακκείμενος ἐν κονίῃσιν
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος. 20
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισιν
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
μηρούς τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὤμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·

Digitized by Google

δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος, 25
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
ἔρδων δ' ὄβριμα ἔργα διδασκέσθω πολεμίζειν,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
ἢ ξίφει οὐτάζων δήϊον ἄνδρ' ἑλέτω· 30
καὶ πόδα πὰρ ποδὶ θεὶς καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
ἐν δὲ λόφον τε λόφῳ καὶ κυνέην κυνέῃ
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην ἢ δόρυ μακρὸν ἑλών.
ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος 35
πτώσσοντες μεγάλοις βάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες † ἐς αὐτούς,
τοῖσι πανόπλοισι πλησίον ἱστάμενοι.

4. [12.]

Οὔτ' ἂν μνησαίμην οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην
οὔτε ποδῶν ἀρετῆς οὔτε παλαισμοσύνης,
οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικφη δὲ θέων Θρηΐκιον Βορέην,
οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη, 5
πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω μάλιον,
οὐδ' εἰ Ταντα λίδεω Πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν πλὴν θούριδος ἀλκῆς —
οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ — 10
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα
καὶ δηΐων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
ἥδ' ἀρετή, τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον
κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.

Digitized by Google

ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ, 15
ὅς τις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
θαρσύνῃ δ' ἔπεσιν τὸν πλησίον ἄνδρα παρεστώς·
οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ. 20
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας σπουδῇ τ' ἔσχεθε κῦμα μάχης·
αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμόν,
ἄστυ τε καὶ λαοὺς καὶ πατέρ' εὐκλεΐσας,
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης 25
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος·
τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
ἀργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις·
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι
καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω· 30
οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται οὐδ' ὄνομ' αὐτοῦ,
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
ὅν τιν' ἀριστεύοντα μένοντά τε μαρναμένόν τε
γῆς πέρι καὶ παίδων θοῦρος Ἄρης ὀλέσῃ.
εἰ δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο, 35
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοί,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην.
[γηράσκων ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτόν
βλάπτειν οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει, 40
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι οἵ τε κατ' αὐτόν
εἴκουσ' ἐκ χώρης οἵ τε παλαιότεροι.]
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω θυμῷ, μὴ μεθιεὶς πολέμου.

Digitized by Google

EMBATHPION.

5. [15.]

Anapaesti (παροιμιακοί).

Ἄγετ', ὦ Σπάρτας εὐάνδρου
κοῦροι πατέρων πολιαπᾶν,
λαιᾷ μὲν ἴτυν προβάλεσθε,
δόρυ δ' εὐτόλμως * ἄνσχεσθε,
μὴ φειδόμενοι τᾶς ζωᾶς· 5
οὐ γὰρ πάτριον τᾷ Σπάρτᾳ.

III. Mimnermus.

Μίμνερμος Colophonius aetate paulo antecedens Soloni Atheniensi olymp. 37 (anno 630 a. Chr.) floruisse traditur. *Λιγυαστάδης* (cfr. Sol. 13, 3) primus elegias eroticas condidisse perhibetur. Carmina amatoria videntur maximam partem ad Nannonem tibicinam scripta fuisse.

1. [1.]

Τίς δὲ βίος, τί δὲ τερπνὸν ἄτερ χρυσῆς Ἀφροδίτης;
τεθναίην, ὅτε μοι μηκέτι ταῦτα μέλοι,
κρυπταδίη φιλότης καὶ μείλιχα δῶρα καὶ εὐνή,
οἷ' ἥβης ἄνθεα γίγνεται ἁρπαλέα
ἀνδράσιν ἠδὲ γυναιξίν. ἐπεὶ δ' ὀδυνηρὸν ἐπέλθῃ 5
γῆρας, ὅ τ' αἰσχρὸν ὁμῶς καὶ καλὸν ἄνδρα τιθεῖ,
αἰεὶ μὲν φρένας ἀμφὶ κακαὶ τείρουσι μέριμναι,
οὐδ' αὐγὰς προσορῶν τέρπεται ἠελίου,
ἀλλ' ἐχθρὸς μὲν παισίν, ἀτίμαστος δὲ γυναιξίν·
οὕτως ἀργαλέον γῆρας ἔθηκε θεός. 10

Digitized by Google

2. [2.]

Ἡμεῖς δ', οἷά τε φύλλα φύει πολυανθέος ὥρη
ἔαρος, ὅτ' αἶψ' αὐγῇς αὔξεται ἠελίου,
τοῖς ἴκελοι πήχυιον ἐπὶ χρόνον ἄνθεσιν ἥβης
τερπόμεθα, πρὸς θεῶν εἰδότες οὔτε κακόν
οὔτ' ἀγαθόν. Κῆρες δὲ παρεστήκασι μέλαιναι, 5
ἡ μὲν ἔχουσα τέλος γήραος ἀργαλέου,
ἡ δ' ἑτέρη θανάτοιο· μίνυνθα δὲ γίγνεται ἥβης
καρπός, ὅσον τ' ἐπὶ γῆν κίδναται ἠέλιος.
αὐτὰρ ἐπὴν δὴ τοῦτο τέλος παραμείψεται ὥρης,
αὐτίκα τεθνάμεναι βέλτιον ἢ βίοτος· 10
πολλὰ γὰρ ἐν θυμῷ κακὰ γίγνεται· ἄλλοτε οἶκος
τρυχοῦται, πενίης δ' ἔργ' ὀδυνηρὰ πέλει·
ἄλλος δ' αὖ παίδων ἐπιδεύεται, ὧν τε μάλιστα
ἱμείρων κατὰ γῆς ἔρχεται εἰς Ἀΐδην·
ἄλλος νοῦσον ἔχει θυμοφθόρον· οὐδέ τις ἔστιν 15
ἀνθρώπων, ᾧ Ζεὺς μὴ κακὰ πολλὰ διδοῖ.

3. [5.]

Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
πτοιῶμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης
τερπνὸν ὁμῶς καὶ καλόν, ἐπεὶ πλέον ὤφελεν εἶναι·
ἀλλ' ὀλιγοχρόνιον γίγνεται ὥσπερ ὄναρ
ἥβη τιμήεσσα· τὸ δ' ἀργαλέον καὶ ἄμορφον 5
γῆρας ὑπὲρ κεφαλῆς αὐτίχ' ὑπερκρέμαται,
ἐχθρὸν ὁμῶς καὶ ἄτιμον, ὅ τ' ἄγνωστον τιθεῖ ἄνδρα,
βλάπτει δ' ὀφθαλμοὺς καὶ νόον ἀμφιχυθέν.

4. [6.]

Αἴ γὰρ ἄτερ νούσων τε καὶ ἀργαλέων μελεδωνῶν
ἑξηκονταέτη μοῖρα κίχοι θανάτου.

Digitized by Google

5. [12.]

Ἥλιος μὲν γὰρ * πόνον ἔλλαχεν ἤματα πάντα,
οὐδέ ποτ' ἄμπαυσις γίγνεται οὐδεμία
ἵπποισίν τε καὶ αὐτῷ, ἐπεὶ ῥοδοδάκτυλος Ἠώς
Ὠκεανὸν προλιποῦσ' οὐρανὸν εἰσαναβῇ.
τὸν μὲν γὰρ διὰ κῦμα φέρει πολυήρατος εὐνή 5
κοιτίλη, Ἡφαίστου χερσὶν ἐληλαμένη
χρυσοῦ τιμήεντος, ὑπόπτερος, ἄκρον ἐφ' ὕδωρ
εὖδονθ' ἁρπαλέως χώρου ἀφ' Ἑσπερίδων
γαῖαν ἐς Αἰθιόπων, ἵνα δὴ θοὸν ἅρμα καὶ ἵπποι
ἑστᾶσ', ὄφρ' Ἠὼς ἠριγένεια μόλῃ. 10
ἔνθ' ἐπέβη ἑτέρων ὀχέων Ὑπερίονος υἱός.

IV. Solon.

Σόλων Ἐξηκεστίδου Atheniensis archon creatus est a. 594 a. Chr. n., obiisse fertur in insula Cypro octogenarius (cfr. 13) circiter a. 560. Qui legibus conditis reipublicae optime consuluit, idem poeticae operam navare suis rationibus haud alienum putavit. Elegiarum quas scripsit celeberrimae sunt Σαλαμίς (1—2), Ὑποθῆκαι εἰς Ἀθηναίους (3—8), Ὑποθῆκαι εἰς Ἑαυτόν (9—12); praeterea composuit tetrametros trochaicos (16—17), senarios (18), denique carmina melica (19).

ΣΑΛΑΜΙΣ.

1.

Αὐτὸς κῆρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος,
κόσμον ἐπέων ᾠδὴν ἀντ' ἀγορῆς θέμενος.

2. [2. 3.]

Εἴην δὴ τότ' ἐγὼ Φολεγάνδριος ἢ Σικινήτης
ἀντί γ' Ἀθηναίου, πατρίδ' ἀμειψάμενος·

Digitized by Google

αἶψα γὰρ ἂν φάτις ἥδε μετ' ἀνθρώποισι γένοιτο·
Ἀττικὸς οὗτος ἀνὴρ τῶν Σαλαμιναφετῶν.

* * *

Ἴομεν εἰς Σαλαμῖνα, μαχησόμενοι περὶ νήσου 5
ἱμερτῆς χαλεπόν τ' αἶσχος ἀπωσόμενοι.

ΥΠΟΘΗΚΑΙ ΕΙΣ ΑΘΗΝΑΙΟΥΣ.

3. [4.]

Ἡμετέρα δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
αἶσαν· καὶ μακάρων θεῶν φρένας ἀθανάτων·
τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν 5
ἀστοὶ βούλονται, χρήμασι πειθόμενοι,
δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν·
οὐ γὰρ ἐπίστανται κατέχειν κόρον οὐδὲ παρούσας
εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ. 10
τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται.
πλουτοῦσιν δ' ἀδίκοις ἔργμασι πειθόμενοι·

* * * * * * * * * * * *

οὔθ' ἱερῶν κτεάνων οὔτε τι δημοσίων
φειδόμενοι κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος·
οὐδὲ φυλάσσονται σεμνὰ θέμεθλα Δίκης,
ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα πρό τ' ἐόντα, 15
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισομένη.
τοῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον·
ἐς δὲ κακὴν ταχέως ἦλυθε δουλοσύνην,
ἣ στάσιν ἔμφυλον πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,

Digitized by Google

ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην· 20
ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
τρύχεται * ἢ συνόδοις, τῆς ἀδικοῦσ' ἕταροι.
ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν
ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπήν
πραθέντες δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες, 25
καὶ κακὰ δουλοσύνης στυγνὰ φέρουσι βίᾳ.
οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ,
αὔλειοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι,
ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως,
εἰ καί τις φεύγων ἐν μυχῷ ἦ θαλάμου. 30
ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
ὡς κακὰ πλεῖστα πόλει δυσνομία παρέχει,
εὐνομία δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
καί θ' ἅμα τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας·
τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ, 35
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
εὐθύνει δὲ δίκας σκολιὰς ὑπερήφανά τ' ἔργα
πραῦνει, παύει δ' ἔργα διχοστασίης,
παύει δ' ἀργαλέης ἔριδος χόλον, ἔστι δ' ὑπ' αὐτῆς
πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά. 40

4. [5.]

Δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος, ὅσσον ἐπαρκεῖ,
τιμῆς οὔτ' ἀφελὼν οὔτ' ἐπορεξάμενος·
οἳ δ' εἶχον δύναμιν καὶ χρήμασιν ἦσαν ἀγητοί,
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν·
ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισιν, 5
νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.

Digitized by Google

5. [6.]

Δῆμος δ' ὧδ' ἂν ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
μήτε λίην ἀνεθεὶς μήτε πιεζόμενος.

6. [9.]

Ἐκ νεφέλης πέλεται χιόνος μένος ἠδὲ χαλάζης,
βροντὴ δ' ἐκ λαμπρᾶς γίγνεται ἀστεροπῆς·
ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται, εἰς δὲ μονάρχου
δῆμος ἀϊδρίῃ δουλοσύνην ἔπεσεν.
λείως δ' ἐξάραντ' οὐ ῥᾴδιόν ἐστι κατασχεῖν 5
ὕστερον, ἀλλ' ἤδη χρὴ φρεσὶ πάντα νοεῖν.

7. [11.]

Εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε·
αὐτοὶ γὰρ τούτους ηὐξήσατε ῥύματα δόντες,
καὶ διὰ ταῦτα κακὴν ἔσχετε δουλοσύνην.
ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει, 5
σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος·
ἐς γὰρ γλῶσσαν ὁρᾶτε καὶ εἰς ἔπος αἰόλον ἀνδρός,
εἰς ἔργον δ' οὐδὲν γιγνόμενον βλέπετε.

8. [12.]

Ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἢν δέ τις αὐτὴν
μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.

ΤΠΟΘΗΚΑΙ ΕΙΣ ΕΑΥΤΟΝ.

9. [13.]

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ·

Digitized by Google

ὄλβον μοι πρὸς θεῶν μακάρων δότε καὶ πρὸς ἁπάντων
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν·
εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν, 5
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω· πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ' ὃν μὲν δῶσι θεοί, παραγίγνεται ἀνδρί
ἔμπεδος ἐκ νεάτου πυθμένος εἰς κορυφήν· 10
ὃν δ' ἄνδρες κινῶσιν ὑφ' ὕβριος, οὐ κατὰ κόσμον
ἔρχεται, ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος
οὐκ ἐθέλων ἕπεται· ταχέως δ' ἀναμίσγεται ἄτῃ.
ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται ὥστε πυρός,
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ· 15
οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργ' ἀρετᾷ.
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος, ἐξαπίνης δέ
ὥστ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
ἠρινός, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
πυθμένα κινήσας, γῆν κάτα πυροφόρον 20
δηώσας καλὰ ἔργα, θεῶν ἕδος, αἰπὺν ἱκάνει
οὐρανόν, αἰθρίην δ' αὖθις ἔθηκεν ἰδεῖν·
λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν
καλόν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἔστιν ἰδεῖν·
τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ, 25
ὥσπερ θνητὸς ἀνήρ, γίγνεται ὀξύχολος.
αἰεὶ δ' οὔ ἑ λέληθε διαμπερές, ὅστις ἀλιτρόν
θυμὸν ἔχῃ, πάντως δ' ἐς τέλος ἐξεφάνη·
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· εἰ δὲ φύγωσιν
αὐτοὶ μηδὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ, 30
ἦλυθε πάντως αὖθις· ἀναίτιοι ἔργα τίνουσιν
ἢ παῖδες τούτων ἢ γένος ἐξοπίσω.

Digitized by Google

θνητοὶ δ' ὧδε νοεῦμεν ὁμῶς ἀγαθός τε κακός τε·
δεινὴν εἶς αὐτοῦ δόξαν ἕκαστος ἔχει,
πρίν τι παθεῖν· τότε δ' αὖθις ὀδύρεται· ἄχρι δὲ τούτου 35
χάσκοντες κούφαις ἐλπίσι τερπόμεθα.
χῶστις μὲν νούσοισιν ὑπ' ἀργαλέῃσι πιεσθῇ,
ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο·
[ἄλλος δειλὸς ἐὼν ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνήρ,
καὶ καλὸς μορφὴν οὐ χαρίεσσαν ἔχων·] 40
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
κτήσασθαι πάντως χρήματα πολλὰ δοκεῖ.
σπεύδει δ' ἄλλοθεν ἄλλος· ὁ μὲν κατὰ πόντον ἀλᾶται,
ἐν νηυσὶν χρῆζων οἴκαδε κέρδος ἄγειν,
ἰχθυόεντ', ἀνέμοισι φορεύμενος ἀργαλέοισιν, 45
φειδωλὴν ψυχῆς οὐδεμίαν θέμενος·
ἄλλος γῆν τέμνων πολυδένδρεον εἰς ἐνιαυτόν
λατρεύει, τοῖσιν καμπύλ' ἄροτρα μέλει·
ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
ἔργα δαεὶς χειροῖν ξυλλέγεται βίοτον· 50
ἄλλος Ὀλυμπιάδων Μουσέων πάρα δῶρα † διδαχθείς,
ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος·
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων,
ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
ᾧ συνομαρτήσωσι θεοί· τὰ δὲ μόρσιμα πάντως 55
οὔτε τις οἰωνὸς ῥύσεται οὔθ' ἱερά·
ἄλλοι Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
ἰητροί, καὶ τοῖς οὐδὲν ἔπεστι τέλος·
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
κοὐκ ἄν τις λύσαιτ' ἤπια φάρμακα δούς· 60
τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε
ἁψάμενος χειροῖν αἶψα τίθησ' ὑγιῆ.

Digitized by Google

Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει ἠδὲ καὶ ἐσθλόν·
δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.
πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν, 65
ᾗ μέλλει σχήσειν, χρήματος ἀρχομένου·
ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος οὐ προνοήσας
εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσεν,
τῷ δὲ κακῶς ἔρδοντι θεὸς περὶ πάντα δίδωσιν
συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης. 70
πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται·
οἳ γὰρ νῦν ἡμέων πλεῖστον ἔχουσι βίον,
διπλασίως σπεύδουσι· τίς ἂν κορέσειεν ἅπαντας;
κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι·
ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς 75
πέμψῃ τισομένην, ἄλλοτε ἄλλος ἔχει.

10. [14.]

Οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτός, ἀλλὰ πόνηροι
πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.

11. [15.]

Πολλοὶ γὰρ πλουτεῦσι κακοί, ἀγαθοὶ δὲ πένονται·
ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
τῆς ἀρετῆς τὸν πλοῦτον, ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεί,
χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

12. [18.]

Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

Digitized by Google

ΠΡΟΣ ΜΙΜΝΕΡΜΟΝ.

13. [20.]

Ἀλλ' εἴ μοι κἂν νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο,
μηδὲ μέγαιρ' ὅτι σεῦ λῷον ἐπεφρασάμην,
καὶ μεταποίησον, Λιγυαστάδη, ὧδε δ' ἄειδε·
Ὀγδωκονταέτη μοῖρα κίχοι θανάτου.

14. [21.]

Μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισιν
ποιήσαιμι θανὼν ἄλγεα καὶ στοναχάς.

---

15. [27.]

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδοντῶν
φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ' ἔτεσιν·
τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,
ἥβης ἐκφαίνει σήματα γεινομένης·
τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἔτι γυίων 5
λαχνοῦται, χροιῆς ἄνθος ἀμειβομένης·
τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδι μέγ' ἄριστος
ἰσχύν, ἣν τ' ἄνδρες πείρατ' ἔχουσ' ἀρετῆς·
πέμπτῃ δ' ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι
καὶ παίδων ζητεῖν εἰσοπίσω γενεήν· 10
τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρός,
οὐδ' ἕρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμνα θέλει·
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μέγ' ἄριστος
ὀκτώ τ'· ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη·
τῇ δ' ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ' αὐτοῦ 15
πρὸς μεγάλην ἀρετὴν γλῶσσά τε καὶ σοφίη·
τῇ δεκάτῃ δ' ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,
οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου.

Digitized by Google

Tetrametri trochaici.

16. [32.]

Εἰ δὲ γῆς ἐφεισάμην
πατρίδος, τυραννίδος δὲ καὶ βίης ἀμειλίχου
οὐ καθηψάμην, μιάνας καὶ καταισχύνας κλέος
οὐδὲν αἰδεῦμαι· πλέον γὰρ ὧδε νικήσειν δοκέω
πάντας ἀνθρώπους.

17. [33.]

Οὐκ ἔφυ Σόλων βαθύφρων οὐδὲ βουλήεις ἀνήρ·
ἐσθλὰ γὰρ θεοῦ διδόντος αὐτὸς οὐκ ἐδέξατο·
περιβαλὼν δ' ἄγραν, ἀγασθεὶς οὐκ ἐπέσπασεν μέγα
δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς.
ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβών 5
καὶ τυραννεύσας Ἀθηνῶν μοῦνον ἡμέραν μίαν,
ἀσκὸς ὕστερον δεδάρθαι κἀπιτετρῖφθαι γένος.

Trimetri iambici.

18. [36.]

Συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ χρόνου
μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων
ἄριστα Γῆ μέλαινα, τῆς ἐγώ ποτε
ὅρους ἀνεῖλον πολλαχῇ πεπηγότας,
πρόσθεν γε δουλεύουσα, νῦν δ' ἐλευθέρα. 5
πολλοὺς δ' Ἀθήνας πατρίδ' εἰς θεόκτιτον
ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὕπο
χρησμὸν λέγοντας, γλῶσσαν οὐκέτ' Ἀττικὴν
ἱέντας, ὡς ἂν πολλαχῇ πλανωμένους· 10

Digitized by Google

τους δ' ἐνθάδ' αὐτοῦ δουλίην ἀεικέα
ἔχοντας, * ἤθη δεσποτῶν τρομευμένους,
ἐλευθέρους ἔθηκα. ταῦτα μὲν κράτει,
ὁμοῦ βίην τε καὶ δίκην συναρμόσας,
ἔρεξα καὶ διεῖλον ὡς ὑπεσχόμην. 15
θεσμοὺς δ' ὁμοίους τῷ κακῷ τε κἀγαθῷ,
εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην,
ἔγραψα. κέντρον δ' ἄλλος ὡς ἐγὼ λαβὼν
κακοφραδής τε καὶ φιλοκτήμων ἀνήρ
οὔτ' ἂν κατέσχε δῆμον οὔτ' ἐπαύσατο, 20
πρὶν ἂν ταράξας πῖαρ ἐξέλῃ γάλα.

ΜΕΛΗ.

19. [42.]

a ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ –
a – – ⏑ ⏑ – – – ⏑ ⏑ –
ai – – ⏑ ⏑ – ⏑ – ⏑ ⏓ –
dt – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏓ – ⏑ – ⏑ – –

Πεφυλαγμένος ἄνδρα ἕκαστον ὅρα,
μὴ κρυπτὸν ἔχων ἔγχος κραδίῃ
φαιδρῷ σε προσεννέπῃ προσώπῳ,
γλῶσσα δέ οἱ διχόμυθος ἐκ μελαίνης φρενὸς γεγωνῇ.

V. Theognis.

Θέογνις Megarensis olymp. 59 (circ. a. 540 a. Chr. n.) floruisse traditur. Incidit eius aetas in illa tempora, quibus nobilium cum plebe de principatu contentiones rem publicam Megarensium vehementer concussere. Theognidem, qui nobilitatis causam enixe susceperat, populares rerum potiti possessionibus ac civitate expulisse videntur. Peregre cum per aliquod

Digitized by Google

tempus versatus esset (cf. vv. 263—268) rerum civilium condicione mutata in patriam redisse vitamque ad initia bellorum Persarum duxisse existimatur (vid. v. 248, 255). Quae Theognidis nomine fertur distichorum collectio partim integras partim mutilas exhibet elegias, quarum aliis rei publicae status describitur, plerisque varia de conformandis emendandisque moribus praecepta proponuntur. Sed apparet una cum Theognidis versibus etiam aliorum (velut Solonis, Mimnermi, Tyrtaei) carmina gnomica in syllogen, qualis nunc exstat, recepta esse. Theognidea magnam partem scripta sunt ad Cyrnum adolescentem (*Πολυπαΐδην*), quem poeta praeceptis suis ad nobilitatis Doricae disciplinam instituere studuit (*γνωμολογία πρὸς Κύρνον δι' ἐλεγείων*).

15 *Μοῦσαι καὶ Χάριτες, κοῦραι Διός, αἵ ποτε Κάδμου*
ἐς γάμον ἐλθοῦσαι καλὸν ἀείσατ' ἔπος·
ὅττι καλόν, φίλον ἐστί· τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστίν.
τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

19 *Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω* 5
τοῖσδ' ἔπεσιν, λήσει δ' οὔ ποτε κλεπτόμενα·
οὐδέ τις ἀλλάξει κάκιον τοὐσθλοῦ παρεόντος.
ὧδε δὲ πᾶς τις ἐρεῖ· Θεύγνιδός ἐστιν ἔπη,
τοῦ Μεγαρέως. πάντας δὲ κατ' ἀνθρώπους ὀνομαστός
ἀστοῖσίν γ' οὔ πω πᾶσιν ἀδεῖν δύναμαι· 10
οὐδὲν θαυμαστόν, Πολυπαΐδη· οὐδὲ γὰρ ὁ Ζεύς·
οὔθ' ὕων πάντεσσ' ἀνδάνει οὔτ' ἀνέχων.

27 *Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτός,*
Κύρν', ἀπὸ τῶν ἀγαθῶν παῖς ἔτ' ἐὼν ἔμαθον.
πέπνυο μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι μηδ' ἀδίκοισιν 15
τιμὰς μηδ' ἀρετὰς ἕλκεο μηδ' ἄφενος.

31 *Ταῦτα μὲν οὕτως ἴσθι· κακοῖσι δὲ μὴ προσομίλει*
ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο·

Digitized by Google

καὶ μετα τοῖσιν πῖνε καὶ ἔσθιε καὶ μετα τοῖσιν
ἵζε καὶ ἄνδανε τοῖς, ὧν μεγάλη δύναμις. 20
ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσιν
συμμίσγῃς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
ταῦτα μαθὼν ἀγαθοῖσιν ὁμίλεε καί ποτε φήσεις
εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.

29 Κύρνε, κύει πόλις ἥδε, δέδοικα δὲ μὴ τέκῃ ἄνδρα 25
εὐθυντῆρα κακῆς ὕβριος ἡμετέρης.
ἀστοὶ μὲν γὰρ ἔθ' οἵδε σαόφρονες, ἡγεμόνες δέ
τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.

53 Κύρνε, πόλις μὲν ἔθ' ἥδε πόλις, λαοὶ δὲ δὴ ἄλλοι,
οἳ πρόσθ' οὔτε δίκας ἤδεσαν οὔτε νόμους, 30
ἀλλ' ἀμφὶ πλευρῇσι δορὰς αἰγῶν κατέτριβον,
ἔξω δ' ὥστ' ἔλαφοι τῆσδ' ἐνέμοντο πόλεος·
καὶ νῦν εἰσ' ἀγαθοί, Πολυπαΐδη· οἱ δὲ πρὶν ἐσθλοί
νῦν δειλοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν;
ἀλλήλους δ' ἀπατῶσιν ἐπ' ἀλλήλοισι γελῶντες, 35
οὔτε κακῶν γνώμας εἰδότες οὔτ' ἀγαθῶν.

69 Μή ποτε, Κύρνε, κακῷ πίσυνος βούλευε σὺν ἀνδρί,
εὖτ' ἂν σπουδαῖον πρῆγμ' ἐθέλῃς τελέσαι·
ἀλλὰ μετ' ἐσθλὸν ἰὼν βούλευ καὶ πολλὰ μογῆσαι
καὶ μακρὴν ποσσίν, Κύρν', ὁδὸν ἐκτελέσαι. 40

73 Πρῆξιν μηδὲ φίλοισιν ὅλως ἀνακοινέο πᾶσιν·
παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.

77 Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
ἄξιος ἐν χαλεπῇ, Κύρνε, διχοστασίῃ.

Digitized by Google

87 Μή μ' ἔπεσιν μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλῃ, 45
εἴ με φιλεῖς καί σοι πιστὸς ἔνεστι νόος.

89 Ἢ με φίλει καθαρὸν θέμενος νόον, ἢ μ' ἀποειπὼν
ἔχθαιρ', ἀμφαδίην νεῖκος ἀειράμενος.
ὅς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον, οὗτος ἑταῖρος
δειλός, Κύρν', ἐχθρὸς βέλτερος ἢ φίλος ὤν. 50

105 Δειλοὺς εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν.
ἶσον καὶ σπείρειν πόντον ἁλὸς πολιῆς·
οὔτε γὰρ ἂν πόντον σπείρων βαθὺ λήϊον ἀμῷς,
οὔτε κακοὺς εὖ δρῶν εὖ πάλιν ἀντιλάβοις·
ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον· ἢν δ' ἐν ἁμάρτῃς, 55
τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης.
οἱ δ' ἀγαθοὶ τὸ μέγιστον * ἀμαυρίσκουσι παθόντες,
μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ χάριν ἐξοπίσω.

117 Κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδέν,
Κύρν', οὐδ' εὐλαβίης ἔσθ' ἕτερον πλέονος. 60

119 Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἀνσχετὸς ἄτη,
Κύρνε, καὶ ἐξευρεῖν ῥᾴδιον ἀνδρὶ σοφῷ.
εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λελήθῃ
ψυδρὸς ἐών, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχῃ,
τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσιν, 65
καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότατον.
οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον οὐδὲ γυναικός,
πρὶν πειρηθείης ὥσπερ ὑποζυγίου·
οὐδέ κεν εἰκάσσαις ὥσπερ ποτ' ἐς † ὥριον ἐλθών·
πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι. 70

133 Οὐδείς, Κύρν', ἄνης καὶ κέρδεος αἴτιος αὐτός,
ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.

Digitized by Google

οὐδέ τις ἀνθρώπων ἐργάζεται ἐν φρεσὶν εἰδώς,
ἐς τέλος εἴτ' ἀγαθὸν γίνεται εἴτε κακόν·
πολλάκι γὰρ δοκέων θήσειν κακόν, ἐσθλὸν ἔθηκεν· 75
καί τε δοκῶν θήσειν ἐσθλόν, ἔθηκε κακόν.
οὐδέ τῳ ἀνθρώπων παραγίνεται ὅσσ' ἐθέλῃσιν·
ἴσχει γὰρ χαλεπῆς πείρατ' ἀμηχανίης.
ἄνθρωποι δὲ μάταια τοπάζομεν, εἰδότες οὐδέν·
θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον. 80

145 Βούλεο δ' εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν
ἢ πλουτεῖν ἀδίκως χρήματα πασάμενος.
ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στιν,
πᾶς δέ τ' ἀνὴρ ἀγαθός, Κύρνε, δίκαιος ἐών.

153 Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται 85
ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾖ. (cfr. Sol. 3, 11.)

159 Μήποτε, Κύρν', ἀγορᾶσθαι ἔπος μέγα· οἶδε γὰρ οὐδείς
ἀνθρώπων ὅ τι νὺξ χἠμέρη ἀνδρὶ τελεῖ.

167 Ἄλλ' ἄλλῳ κακόν ἐστι, τὸ δ' ἀτρεκὲς ὄλβιος οὐδείς
ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ. (cfr. Sol. 10.) 90

169 Ὃν δὲ θεοὶ τιμῶσ', ὃν καὶ μωμεύμενος αἰνεῖ·
ἀνδρὸς δὲ σπουδὴ γίνεται οὐδεμία.

173 Ἄνδρ' ἀγαθὸν πενίη πάντων δάμνησι μάλιστα
καὶ γήρως πολιοῦ, Κύρνε, καὶ ἠπιάλου,
ἣν δὴ χρὴ φεύγοντα καὶ ἐς βαθυκήτεα πόντον 95
ῥιπτεῖν καὶ πετρέων, Κύρνε, κατ' ἠλιβάτων.
καὶ γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔτε τι εἰπεῖν
οὔθ' ἕρξαι δύναται, γλῶσσα δέ οἱ δέδεται.

Digitized by Google

197 Χρῆμα δ', ὃ μὲν Διόθεν καὶ σὺν δίκῃ ἀνδρὶ γένηται
καὶ καθαρῶς, αἰεὶ παρμόνιμον τελέθει. 100
εἰ δ' ἀδίκως παρὰ καιρὸν ἀνὴρ φιλοκερδέϊ θυμῷ
κτήσεται, εἴθ' ὅρκῳ πὰρ τὸ δίκαιον ἑλών,
αὐτίκα μέν τι φέρειν κέρδος δοκεῖ, ἐς δὲ τελευτὴν
αὖθις ἔγεντο κακόν, θεῶν δ' ὑπερέσχε νόος.
ἀλλὰ τάδ' ἀνθρώπων ἀπατᾷ νόον· οὐ γὰρ ἐπ' αὐτοῦ 105
τίνονται μάκαρες πρήγματος ἀμπλακίας·
ἀλλ' ὁ μὲν αὐτὸς ἔτισε κακὸν χρέος οὐδὲ φίλοισιν
ἄτην ἐξοπίσω παισὶν ὑπερκρέμασεν·
ἄλλον δ' οὐ κατέμαρψε δίκη, θάνατος γὰρ ἀναιδὴς
πρόσθεν ἐπὶ βλεφάροις ἕζετο κῆρα φέρων. 110

213 Κύρνε, φίλους κάτα πάντας ἐπίστρεφε ποικίλον ἦθος,
ὀργὴν συμμίσγων, ἥν τιν' ἕκαστος ἔχει.

215 Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ,
τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη·
νῦν μὲν τῇδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος χρόα γίνου. 115
κρέσσων τοι σοφίη γίνεται ἀτροπίης.

233 Ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ,
Κύρν', ὀλίγης τιμῆς ἔμμορεν ἐσθλὸς ἀνήρ.

255 Κάλλιστον τὸ δικαιότατον· λῷστον δ' ὑγιαίνειν·
πρῆγμα δὲ τερπνότατον, τοῦ τις ἐρᾷ, τὸ τυχεῖν. 120

293 Οὐδὲ λέων αἰεὶ κρέα δαίνυται, ἀλλά μιν ἔμπης
καὶ κρατερόν περ ἐόντ' ἀγρεῖ ἀμηχανίη.

295 Κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος,
φθεγγόμενος δ' * ἀνίη, τοῖσι παρῇ, πέλεται,

Digitized by Google

ἐχθαίρουσι δὲ πάντες, ἀναγκαίη δ' ἐπίμιξις 125
ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.

313 Ἐν μὲν μαινομένοις μάλα μαίνομαι, ἐν δὲ δικαίοις
πάντων ἀνθρώπων εἰμὶ δικαιότατος.

323 Μή ποτ' ἐπὶ σμικρᾷ προφάσει φίλον ἄνδρ' ἀπολέσσαι
πειθόμενος χαλεπῇ, Κύρνε, διαιβολίῃ. 130
εἴ τις ἁμαρτωλῆσι φίλων ἐπὶ παντὶ χολῶτο,
οἵ ποτ' ἂν ἀλλήλοις ἄρθμιοι οὐδὲ φίλοι
εἶεν· ἁμαρτωλαὶ γὰρ ἐν ἀνθρώποισιν ἕπονται
θνητοῖς, Κύρνε· θεοὶ δ' οὐκ ἐθέλουσι φέρειν.

329 Καὶ βραδὺς εὔβουλος εἶλεν ταχὺν ἄνδρα διώκων, 135
Κύρνε, σὺν ἰθείῃ θεῶν δίκῃ ἀθανάτων.

335 Μηδὲν ἄγαν σπεύδειν· πάντων μέσ' ἄριστα· καὶ οὕτως,
Κύρν', ἕξεις ἀρετήν, ἣν τε λαβεῖν χαλεπόν.

341 Ἀλλά, Ζεῦ, τέλεσόν μοι, Ὀλύμπιε, καίριον εὐχήν·
δὸς δέ μοι ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν. 140
τεθναίην δ', εἰ μή τι κακῶν ἄμπαυμα μεριμνέων
εὑροίμην, δοίην δ' ἀντ' ἀνιῶν ἀνίας·
αἶσα γὰρ οὕτως ἐστί. τίσις δ' οὐ φαίνεται ἡμῖν
ἀνδρῶν, οἳ τἀμὰ χρήματ' ἔχουσι βίῃ
συλήσαντες· ἐγὼ δ' ἀλύων ἐπέρησα χαράδρην, 145
χειμάρρῳ ποταμῷ πάντ' ἀποσεισάμενος·
τῶν εἴη μέλαν αἷμα πιεῖν, ἐπί τ' ἐσθλὸς ὄροιτο
δαίμων, ὃς κατ' ἐμὸν νοῦν τελέσειε τάδε.

355 Τόλμα, Κύρνε, κακοῖσιν, ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες,
εὖτέ σε καὶ τούτων μοῖρ' ἐπέβαλλεν ἔχειν· 150

Digitized by Google

ὡς δέ περ ἐξ ἀγαθῶν ἔλαβες κακόν, ὣς δὲ καὶ αὖθις
ἐκδῦναι πειρῶ, θεοῖσιν ἐπευχόμενος.

359 Μηδὲ λίην ἐπίφαινε· κακὸν δέ τι, Κύρν', ἐπιφαίνων
παύρους κηδεμόνας σῆς κακότητος ἔχεις.

435 Πάντων μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον 155
μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου·
φύντα δ' ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι
καὶ κεῖσθαι πολλὴν γῆν ἐπιεσσάμενον.

461 Μή ποτ' ἐπ' ἀπρήκτοισι νόον ἔχε, μηδὲ μενοίνα,
χρήμασι, τῶν ἄνυσις γίνεται οὐδεμία. 160

467 Μηδένα τῶνδ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν,
μηδὲ θύραζε κέλευ' οὐκ ἐθέλοντ' ἰέναι,
μηδ' εὕδοντ' ἐπέγειρε, Σιμωνίδη, ὅν τιν' ἂν ἡμῶν
θωρηχθέντ' οἶνῳ μαλθακὸς ὕπνος ἕλῃ,
μηδὲ τὸν ἀγρυπνέοντα κέλευ' ἀέκοντα καθεύδειν· 165
πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ.
τῷ πίνειν δ' ἐθέλοντι παρασταδὸν οἰνοχοείτω·
οὐ πάσας νύκτας γίνεται ἁβρὰ παθεῖν.
αὐτὰρ ἐγώ — μέτρον γὰρ ἔχω μελιηδέος οἴνου —
ὕπνου λυσικάκου μνήσομαι οἴκαδ' ἰών, 170
ἥξω δ' ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι·
οὔτε τι γὰρ νήφων, οὔτε λίην μεθύων.
ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτι κεῖνος
τῆς αὐτοῦ γλώσσης καρτερὸς οὐδὲ νόου·
μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφοσι γίνεται αἰσχρά, 175
αἰδεῖται δ' ἔρδων οὐδέν, ὅταν μεθύῃ,
τὸ πρὶν ἐὼν σώφρων, τότε νήπιος. ἀλλὰ σὺ ταῦτα
γινώσκων μὴ πῖν' οἶνον ὑπερβολάδην,

Digitized by Google

ἀλλ' ἢ πρὶν μεθύειν ὑπανίστασο — μὴ σε βιάσθω
γαστήρ, ὥστε κακὸν λάτριν ἐφημέριον — 180
ἢ παρεὼν μὴ πῖνε· σὺ δ' ἔγχεε τοῦτο μάταιον
κωτίλλεις αἰεί· τοὔνεκά τοι μεθύεις.
ἡ μὲν γὰρ φέρεται φιλοτήσιος, ἡ δὲ πρόκειται,
τὴν δὲ θεοῖς σπένδεις, † τὴν δ' ἐπὶ χειρὸς ἔχεις·
ἀρνεῖσθαι δ' οὐκ οἶδας· ἀνίκητος δέ τοι οὗτος, 185
ὃς πολλὰς πίνων μή τι μάταιον ἐρεῖ.
ὑμεῖς δ' εἶ μυθεῖσθε παρὰ κρητῆρι μένοντες,
ἀλλήλων ἔριδος * δέννον ἐρυκόμενοι,
ἐς τὸ μέσον φωνεῦντες ὁμῶς ἑνὶ καὶ συνάπασιν·
χοὕτως συμπόσιον γίνεται οὐκ ἄχαρι. 190

535 Οὔ ποτε δουλείη κεφαλὴ ἰθεῖα πέφυκεν,
ἀλλ' αἰεὶ σκολιή, καὐχένα λοξὸν ἔχει.

571 Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα, πεῖρα δ' ἄριστον·
πολλοὶ ἀπείρητοι δόξαν ἔχουσ' ἀγαθῶν.

573 Εὖ ἔρδων εὖ πάσχε· τί κ' ἄγγελον ἄλλον ἰάλλοις; 195
τῆς εὐεργεσίης ᾠδίη ἀγγελίη.

575 Οἵ με φίλοι προδιδοῦσιν, ἐπεὶ τόν γ' ἐχθρὸν ἀλεῦμαι
ὥστε κυβερνήτης χοιράδας εἰναλίους.

588 Ἀλλὰ τὰ μὲν προβέβηκεν, ἀμήχανόν ἐστι γενέσθαι
ἀργά· τὰ δ' ἐξοπίσω, τῶν φυλακὴ μελέτω. 200

605 Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
ἄνδρας, ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον.

607 Ἀρχῇ ἐπι ψεύδους μικρὴ χάρις· ἐς δὲ τελευτὴν
αἰσχρὸν δὴ κέρδος καὶ κακὸν ἀμφότερον

Digitized by Google

γίνεται· οὐδέ τι καλόν, ὅτῳ ψεῦδος προσομαρτῇ 205
ἀνδρὶ καὶ ἐξέλθῃ πρῶτον ἀπὸ στόματος.

633 Βουλεύου δὶς καὶ τρίς, ὅ τοί κ' ἐπὶ τὸν νόον ἔλθῃ·
ἀτηρὸς γάρ τοι λάβρος ἀνὴρ τελέθει.

643 Πολλοὶ πὰρ κρητῆρι φίλοι γίνονται ἑταῖροι,
ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι. 210

659 Οὐδ' ὀμόσαι χρὴ τοῦτ'· οὐ μή ποτε πρῆγμα τόδ' ἔσται·
θεοὶ γάρ που νεμεσῶσ', οἷσιν ἔπεστι τέλος·
καὶ πρῆξαι μέντοι τι· καὶ ἐκ κακοῦ ἐσθλὸν ἔγεντο
καὶ κακὸν ἐξ ἀγαθοῦ· καί τε πενιχρὸς ἀνήρ
αἶψα μάλ' ἐπλούτησε, καὶ ὃς μάλα πολλὰ πέπαται, 215
ἐξαπίνης πάντ' οὖν ὤλεσε νυκτὶ μιῇ.
καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
ἕσπετο, καὶ τιμῆς καὶ κακὸς ὢν ἔλαχεν.

667 Εἰ μὲν χρήματ' ἔχοιμι, Σιμωνίδη, οἷά περ ἤδη,
† οὐκ ἂν ἀνιῴμην τοῖς ἀγαθοῖσι συνών· 220
νῦν δέ με γινώσκοντα παρέρχεται, εἰμὶ δ' ἄφωνος
χρημοσύνῃ, πολλῶν γνούς περ ἄμεινον ἔτι,
οὕνεκα νῦν φερόμεσθα καθ' ἱστία λευκὰ βαλόντες
Μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερήν·
ἀντλεῖν δ' οὐκ ἐθέλουσιν, ὑπερβάλλει δὲ θάλασσα 225
ἀμφοτέρων τοίχων. ἦ μάλα τις χαλεπῶς
σώζεται, οἷ' ἔρδουσι· κυβερνήτην μὲν ἔπαυσαν
ἐσθλόν, ὅ τις φυλακὴν εἶχεν ἐπισταμένως·
χρήματα δ' ἁρπάζουσι βίῃ, κόσμος δ' ἀπόλωλεν,
δασμὸς δ' οὐκέτ' ἴσος γίνεται ἐς τὸ μέσον· 230
φορτηγοὶ δ' ἄρχουσι, κακοὶ δ' ἀγαθῶν καθύπερθεν.
δειμαίνω, μή πως ναῦν κατὰ κῦμα πίῃ.

Digitized by Google

ταῦτα μοι ᾐνίχθω κεκρυμμένα τοῖς ἀγαθοῖσιν·
γινώσκοι δ' ἄν τις καὶ κακός, ἢν σοφὸς ᾖ.

683 Πολλοὶ πλοῦτον ἔχουσιν ἀΐδριες· οἱ δὲ τὰ καλά 235
ζητοῦσιν χαλεπῇ τειρόμενοι πενίῃ.
ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται·
εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.

729 Φροντίδες ἀνθρώπων ἔλαχον πτερὰ ποικίλ' ἔχουσαι,
μυρόμεναι ψυχῆς εἵνεκα καὶ βιότου. 240

757 Ζεὺς μὲν τῆσδε πόληος ὑπειρέχοι, αἰθέρι ναίων,
αἰεὶ δεξιτερὴν χεῖρ' ἐπ' ἀπημοσύνῃ
ἄλλοι τ' ἀθάνατοι μάκαρες θεοί· αὐτὰρ Ἀπόλλων
ὀρθώσαι γλῶσσαν καὶ νόον ἡμέτερον.
φόρμιγξ δ' αὖ φθέγγοιθ' ἱερὸν μέλος ἠδὲ καὶ αὐλός· 245
ἡμεῖς δὲ σπονδὰς θεοῖσιν ἀρεσσάμενοι
πίνωμεν, χαρίεντα μετ' ἀλλήλοισι λέγοντες,
μηδὲν τὸν Μήδων δειδιότες πόλεμον.
ὧδ' εἴη κεν ἄμεινον· ὁμόφρονα θυμὸν ἔχοντας
νόσφι μεριμνάων εὐφροσύνως διάγειν 250
τερπομένους, τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμῦναι,
γῆράς τ' οὐλόμενον καὶ θανάτοιο τέλος.

773 Φοῖβε ἄναξ, αὐτὸς μὲν ἐπύργωσας πόλιν ἄκρην,
Ἀλκαθόῳ, Πέλοπος παιδί, χαριζόμενος·
αὐτὸς δὲ στρατὸν ὑβριστὴν Μήδων ἀπέρυκε 255
τῆσδε πόλευς, ἵνα σοι λαοὶ ἐν εὐφροσύνῃ
ἦρος ἐπερχομένου κλειτὰς πέμπωσ' ἑκατόμβας,
τερπόμενοι κιθάρῃ κἀν ἐρατῇ θαλίῃ
παιάνων τε χοροῖς ἰαχῇσί τε σὸν περὶ βωμόν.
ἦ γὰρ ἔγωγε δέδοικ', ἀφραδίην ἐσορῶν

Digitized by Google

καὶ στάσιν Ἑλλήνων λαοφθόρον· ἀλλὰ σύ, Φοῖβε,
ἵλαος ἡμετέρην τήνδε φύλασσε πόλιν.

783 Ἦλθον μὲν γὰρ ἔγωγε καὶ εἰς Σικελήν ποτε γαῖαν,
ἦλθον δ' Εὐβοίης ἀμπελόεν πεδίον
Σπάρτην τ' Εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄστυ· 265
καί μ' ἐφίλευν προφρόνως πάντες ἐπερχόμενον.
ἀλλ' οὔ τίς μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων·
οὕτως οὐδὲν ἄρ' ἦν φίλτερον ἄλλο πάτρης.

789 Μή ποτέ μοι μελέδημα † νεώτερον ἄλλο φανείη
ἀντ' ἀρετῆς σοφίης τ', ἀλλὰ τόδ' αἰὲν ἔχων 270
τερποίμην φόρμιγγι καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ,
καὶ μετὰ τῶν ἀγαθῶν ἐσθλὸν ἔχοιμι νόον.

797 Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ·
τῶν δὲ κακῶν μνήμη γίνεται οὐδεμία.

845 Εὖ μὲν κείμενον ἔργμα κακῶς θέμεν εὐμαρές ἐστιν, 275
εὖ δὲ θέμεν τὸ κακῶς κείμενον ἀργαλέον.

847 Λὰξ ἐπίβα δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
ὀξέϊ, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει·
οὐ γὰρ ἔθ' εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε
ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ. 280

869 Ἓν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθεν
χάλκεος, ἀνθρώπων δεῖμα χαμαιγενέων,
εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω, οἵ με φιλεῦσιν,
τοῖς δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.

877 Ἥβα μοι, φίλε θυμέ· τάχ' αὖ τινες ἄλλοι ἔσονται 285
ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.

Digitized by Google

879 Πίν' οἶνον, τὸν ἐμοὶ κορυφῆς ὕπο Τηϋγέτοιο
ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευσ' ὁ γέρων
οὔρεος ἐν βήσσῃσι, θεοῖσι φίλος Θεότιμος,
ἐκ Πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων. 290
τοῦ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδώνας,
θωρηχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφροτέρως.

901 Ἔστιν ὁ μὲν χείρων, ὁ δ' ἀμείνων ἔργον ἕκαστον·
οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

957 Εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἶδας, 295
χρῄζων ἡμετέρους αὖθις ἵκοιο δόμους.

1013 Ἁ μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅς τις ἄπειρος
ἄθλων εἰς Ἀΐδεω δῶμα μέλαν καταβῇ,
πρίν τ' ἐχθροὺς πτῆξαι καὶ ὑποσσῆναί περ ἀνάγκῃ,
ἐξετάσαι τε φίλους, ὅν τιν' ἔχουσι νόον. 300

1023 Οἴ ποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
δύσλοφον, οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρῃ.

1029 Τόλμα, θυμέ, κακοῖσιν ὅμως ἄτλητα πεπονθώς·
δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη·
μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων 305
ὄχθει μηδ' ἄχθου, μηδὲ φίλους ἀνία
μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι,
οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
οὔθ' ὅταν αὐτὸν ἔχῃ Τάρταρος ἠερόεις. 310

1069 Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵ τε θανόντας
κλαίουσ' οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.

Digitized by Google

1079 Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.

1087 Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ 315
ναίετ' ἐπ' Εὐρώτᾳ, καλλιρόῳ ποταμῷ,
εἴ ποτε βουλεύσαιμι φίλῳ κακόν, αὐτὸς ἔχοιμι·
εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι.

1135 Ἐλπὶς ἐν ἀνθρώποις μούνη θεὸς ἐσθλὴ ἔνεστιν,
ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν· 320
ᾤχετο μὲν Πίστις, μεγάλη θεός, ᾤχετο δ' ἀνδρῶν
Σωφροσύνη, Χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον.
ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποις * ἀδίκοισι,
οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους·
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιται, οὐδὲ θέμιστας 325
οὐκέτι γινώσκουσ' οὐδὲ μὲν εὐνομίας.
ἀλλ' ὄφρα τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
εὐσεβέων περὶ θεούς, Ἐλπίδα προσμενέτω,
εὐχόμενός τε θεοῖσι καὶ ἀγλαὰ μηρία καίων
Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω. 330
φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
οἳ θεῶν ἀθανάτων οὐδὲν ὀπιζόμενοι
αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
ἐσθλὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.

1181 Δημοφάγον δὲ τύραννον, ὅπως ἐθέλεις, κατα-
κλῖναι 335
οὐ νέμεσις πρὸς θεῶν γίνεται οὐδεμία.

1183 Νοῦς ἀγαθὸν καὶ γλῶσσα· τὰ δ' ἐν παύροισι πέφυκεν
ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.

Digitized by Google

879 Πῖν' οἶνον, τὸν ἐμοὶ κορυφῆς ὕπο Τηϋγέτοιο
ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευσ' ὁ γέρων
οὔρεος ἐν βήσσῃσι, θεοῖσι φίλος Θεότιμος,
ἐκ Πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων. 290
τοῦ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδώνας,
θωρηχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφροτέρως.

901 Ἔστιν ὁ μὲν χείρων, ὁ δ' ἀμείνων ἔργον ἕκαστον·
οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

957 Εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα μὴ χάριν οἶδας, 295
χρῄζων ἡμετέρους αὖθις ἵκοιο δόμους.

1013 Ἀ μάκαρ εὐδαίμων τε καὶ ὄλβιος, ὅς τις ἄπειρος
ἄθλων εἰς Ἀΐδεω δῶμα μέλαν καταβῇ,
πρίν τ' ἐχθροὺς πτῆξαι καὶ ὑποσσῆναί περ ἀνάγκῃ,
ἐξετάσαι τε φίλους, ὅν τιν' ἔχουσι νόον. 300

1023 Οἵ ποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
δύσλοφον, οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρῃ.

1029 Τόλμα, θυμέ, κακοῖσιν ὅμως ἄτλητα πεπονθώς·
δειλῶν τοι κραδίη γίνεται ὀξυτέρη·
μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων 305
ὄχθει μηδ' ἄχθου, μηδὲ φίλους ἀνία
μηδ' ἐχθροὺς εὔφραινε. θεῶν δ' εἱμαρμένα δῶρα
οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι,
οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
οὔθ' ὅταν αὐτὸν ἔχῃ Τάρταρος ἠερόεις. 310

1069 Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵ τε θανόντας
κλαίουσ' οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.

Digitized by Google

1079 *Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,*
οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.

1087 *Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ* 315
ναίετ' ἐπ' Εὐρώτᾳ, καλλιρόῳ ποταμῷ,
εἴ ποτε βουλεύσαιμι φίλῳ κακόν, αὐτὸς ἔχοιμι·
εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι.

1135 *Ἐλπὶς ἐν ἀνθρώποις μούνη θεὸς ἐσθλὴ ἔνεστιν,*
ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν· 320
ᾤχετο μὲν Πίστις, μεγάλη θεός, ᾤχετο δ' ἀνδρῶν
Σωφροσύνη, Χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον.
*ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποις * ἀδίκοισι,*
οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους·
εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιται, οὐδὲ θέμιστας 325
οὐκέτι γινώσκουσ' οὐδὲ μὲν εὐνομίας.
ἀλλ' ὄφρα τις ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
εὐσεβέων περὶ θεούς, Ἐλπίδα προσμενέτω,
εὐχόμενός τε θεοῖσι καὶ ἀγλαὰ μηρία καίων
Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω. 330
φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
οἳ θεῶν ἀθανάτων οὐδὲν ὀπιζόμενοι
αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
ἐσθλὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.

1181 *Δημοφάγον δὲ τύραννον, ὅπως ἐθέλεις, κατα-*
κλῖναι 335
οὐ νέμεσις πρὸς θεῶν γίνεται οὐδεμία.

1183 *Νοῦς ἀγαθὸν καὶ γλῶσσα· τὰ δ' ἐν παύροισι πέφυκεν*
ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.

Digitized by Google

1185 *Οὐδένα, Κύρν', αὐγαὶ φαεσιμβρότου ἠελίοιο*
ἄνδρ' ἐφορῶσ', ᾧ μὴ μῶμος ἐπικρέμαται. 340

VI. Phocylides.

Φωκυλίδης Milesius Theognidis aequalis fuisse perhibetur. Poematia eius, quae acumine ac brevitate insignia a veteribus *Κεφάλαια* appellabantur, partim distichis partim versibus heroicis concepta sunt: *ἐλεγεῖαι καὶ ἔπη*. (Praeter concisa illa elogia Phocylidis nomine fertur carmen gnomicum, *ποίημα νουθετικόν*, ex CCXXX hexametris constans: hoc a Milesio poeta abiudicandum est, tribuendum homini Iudaeo, qui ante Neronem imperatorem vixisse existimatur.)

1. [1.]

Καὶ τόδε Φωκυλίδεω· Λέριοι κακοί, οὐχ ὁ μέν, ὃς δ' οὔ,
πάντες πλὴν Προκλέους· καὶ Προκλέης Λέριος.

2. [3.]

Καὶ τόδε Φωκυλίδεω· τετόρων ἀπὸ τῶνδε γένοντο
φῦλα γυναικείων· ἡ μὲν κυνός, ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης.
εὔφορος ἥδε, ταχεῖα, περίδρομος, εἶδος ἀρίστη·
ἡ δὲ συὸς βλοσυρῆς οὔτ' οὖν κακὴ οὐδὲ μὲν ἐσθλή· 5
ἡ δὲ κυνὸς χαλεπή τε καὶ ἄγριος· ἡ δὲ μελίσσης
οἰκονόμος τ' ἀγαθὴ καὶ ἐπίσταται ἐργάζεσθαι·
ἧς εὔχου, φίλ' ἑταῖρε, λαχεῖν γάμου ἱμερόεντος.

(Cfr. carmen Simonidis Amorgini infra datum.)

3. [4.]

Καὶ τόδε Φωκυλίδεω· τί πλέον, γένος εὐγενὲς εἶναι,
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις οὔτ' ἐνὶ βουλῇ;

Digitized by Google

4. [5.]

Καὶ τόδε Φωκυλίδεω· πόλις ἐν σκοπέλῳ κατὰ κόσμον
οἰκεῦσα σμικρὴ κρέσσων Νίνου ἀφραινούσης.

5. [7.]

Χρηΐζων πλούτου μελέτην ἔχε πίονος ἀγροῦ·
ἀγρὸν γάρ τε λέγουσιν Ἀμαλθείης κέρας εἶναι.

6. [8.]

Νυκτὸς βουλεύειν, νυκτὸς δέ τοι ὀξυτέρη φρήν
ἀνδράσιν· ἡσυχίη δ' ἀρετὴν διζημένῳ ἐσθλή.

7. [9.]

Πολλοί τοι δοκέουσι σαόφρονες ἔμμεναι ἄνδρες
σὺν κόσμῳ στείχοντες, ἐλαφρόνοοί περ ἐόντες.

8. [10.]

Δίζεσθαι βιοτήν, ἀρετὴν δ' ὅταν ᾖ βίος ἤδη.

9. [11.]

Χρὴ δ' ἐν συμποσίῳ κυλίκων περινισομενάων
ἡδέα κωτίλλοντα καθήμενον οἰνοποτάζειν.

10. [12.]

Πολλὰ μέσοισιν ἄριστα· μέσος θέλω ἐν πόλει εἶναι.

11. [14.]

Πόλλ' ἀπατηθῆναι διζήμενον ἔμμεναι ἐσθλόν.

12. [16.]

Χρήστης κακοῦ ἔμμεναι ἀνδρός
φεύγειν, μή σέ γ' ἀνιήσῃ παρὰ καιρὸν ἀπαιτέων.

Digitized by Google

Epigrammatum Scriptores.

I. Archilochus.

(v. quae infra de eo scripta sunt.)

[Anth. Pal. VII 441.]

Ὑψηλοὺς Μεγάτιμον Ἀριστοφώντά τε Νάξου 1
κίονας, ὦ μεγάλη γαῖ', ὑπένερθεν ἔχεις.

II. Sappho.

(De eius vita et carminibus infra dictum est.)

[Anth. Pal. VII 489.]

Τιμάδος ἅδε κόνις, τὰν δὴ πρὸ γάμοιο θανοῦσαν 2
δέξατο Φερσεφόνας κυάνεος θάλαμος,
ἃς καὶ ἀποφθιμένας πᾶσαι νεοθᾶγι σιδάρῳ
ἅλικες ἱμερτὰν κρατὸς ἔθεντο κόμαν.

III. Erinna,

aequalis Sapphus; Lesbiane fuerit an Tenia (Telia) ambigitur.

1. [Anth. Pal. VI 352.]

Ἐξ ἀταλᾶν χειρῶν τάδε γράμματα· λῶστε Προμαθεῦ, 3
ἔντι καὶ ἄνθρωποι τὶν ὁμαλοὶ σοφίαν·
ταύταν γῶν ἐτύμως τὰν παρθένον ὅς τις ἔγραψεν,
αἰ καὐδὰν ποτέθηκ', ἧς κ' Ἀγαθαρχὶς ὅλα.

Digitized by Google

2. [Anth. Pal. VII 710.]

Στᾶλαι καὶ Σειρῆνες ἐμαὶ καὶ πένθιμε κρωσσέ, 4
ὅστις ἔχεις Ἀΐδα τὰν ὀλίγαν σποδιάν,
τοῖς ἐμὸν ἐρχομένοισι παρ' ἠρίον εἴπατε χαίρειν,
αἴτ' ἀστοὶ τελέθωντ', αἴθ' ἑτεροπτόλιες·
5 χὤτι με νύμφαν εὖσαν ἔχει τάφος, εἴπατε καὶ τό·
χὤτι πατήρ μ' ἐκάλει Βαυκίδα, χὤτι γένος
Τηνία, ὡς εἰδῶντι· καὶ ὅττι μοι ἁ συνεταιρίς
Ἤριννν' ἐν τύμβῳ γράμμ' ἐχάραξε τόδε.

3. [Ib. VII 712.]

Νύμφας Βαυκίδος εἰμί· πολυκλαύταν δὲ παρέρπων 5
στάλαν τῷ κατὰ γᾶς τοῦτο λέγοις Ἀΐδᾳ·
Βάσκανος ἔσσ', Ἀΐδα. τὰ δέ τοι καλὰ σάμαθ' ὁρῶντι
ὠμοτάταν Βαυκοῦς ἀγγελέοντι τύχαν,
5 ὡς τὰν παῖδ' Ὑμέναιος ὑφ' αἷς * εἰςήγετο πεύκαις,
ταῖσδ' ἐπὶ καδεστὰς ἔφλεγε πυρκαΐάν·
καὶ σὺ μέν, ὦ Ὑμέναιε, γάμων μολπαῖον ἀοιδάν
ἐς θρήνων γοερὸν φθέγμα μεθηρμόσαο.

IV. Anacreon.

(cfr. vita infra in poet. lyr. data.)

1. [Anth. Pal. VII 226.]

Ἀβδήρων προθανόντα τὸν αἰνοβίην Ἀγάθωνα 6
πᾶσ' ἐπὶ πυρκαΐῃς ἧδ' ἐβόησε πόλις·
οὔ τινα γὰρ τοιόνδε νέων ὁ φιλαίματος Ἄρης
ἠνάρισεν στυγερῆς ἐν στροφάλιγγι μάχης.

2. [Ib. VII 160.]

Καρτερὸς ἐν πολέμοις Τιμόκριτος, οὗ τόδε σᾶμα· 7
Ἄρης δ' οὐκ ἀγαθῶν φείδεται, ἀλλὰ κακῶν.

Digitized by Google

3. [Anth. Pal. VI 141.]

Ῥυσαμένα Πύθωνα δυσαχέος ἐκ πολέμοιο 8
ἀσπὶς Ἀθηναίης ἐν τεμένει κρέμαται.

4. [Ib. VII 263.]

Καὶ σέ, Κλεηνορίδη, πόθος ὤλεσε πατρίδος αἴης 9
θαρσήσαντα Νότου λαίλαπι χειμερίῃ·
ὥρη γάρ σε πέδησεν ἀνέγγυος, ὑγρὰ δὲ τὴν σὴν
κύματ' ἀφ' ἱμερτὴν ἔκλυσεν ἡλικίην.

5. [Ib. IX 715.]

Βουκόλε, τὰν ἀγέλαν πόρρω νέμε, μὴ τὸ Μύρωνος 10
βοίδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

V. Simonides Ceus.

(v. quae infra scripta sunt de eius vita et poematis.)

1. [Lycurgi or. in Leocr. 109.]

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι 11
χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν.

2. [Anth. Pal. VII 248, cf. Herod. VII 228.]

Μυριάσιν ποτὲ τῇδε τριακοσίαις ἐμάχοντο 12
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

3. [Anth. Pal. VII 249, cf. Herod. VII 228.]

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις, ὅτι τῇδε 13
κείμεθα, τοῖς κείνων ῥήμασι πειθόμενοι.

4. [Anth. Pal. VII 677, cf. Herod. VII 228.]

Μνῆμα τόδε κλεινοῖο Μεγιστία, ὅν ποτε Μῆδοι 14
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,

Digitized by Google

μάντιος, ὃς τότε Κῆρας ἐπερχομένας σάφα εἰδώς
οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

5. [Anth. Pal. VII 251.]

Ἄσβεστον κλέος οἶδε φίλῃ περὶ πατρίδι θέντες 15
κυάνεον θανάτου ἀμφεβάλοντο νέφος·
οὐδὲ τεθνᾶσι θανόντες, ἐπεί σφ' ἀρετὴ καθύπερθεν
κυδαίνουσ' ἀνάγει δώματος ἐξ Ἀΐδεω.
(Cf. Hor. carm. III 2, 21.)

6. [Aristid. II 512.]

Ἀκμᾶς ἑστακυῖαν ἐπὶ ξυροῦ Ἑλλάδα πᾶσαν 16
ταῖς αὐτῶν ψυχαῖς κείμεθα ῥυσάμενοι
δουλοσύνας· Πέρσαις δὲ περὶ φρεσὶ πήματα πάντα
ἤψαμεν, ἀργαλέης μνήματα ναυμαχίας.
5 ὀστέα δ' ἄμμιν ἔχει Σαλαμίς· πατρὶς δὲ Κόρινθος
ἀντ' εὐεργεσίης μνῆμ' ἐπέθηκε τόδε.

7. [Anth. Pal. VII 257.]

Παῖδες Ἀθηναίων Περσῶν στρατὸν ἐξολέσαντες 17
ἤρκεσαν ἀργαλέην πατρίδι δουλοσύνην.

8. [Ib. VII 258.]

Οἶδε παρ' Εὐρυμέδοντά ποτ' ἀγλαὸν ὤλεσαν ἥβην, 18
μαρνάμενοι Μήδων τοξοφόρων προμάχοις,
αἰχμηταί, πεζοί τε καὶ ὠκυπόρων ἐπὶ νηῶν·
κάλλιστον δ' ἀρετῆς μνῆμ' ἔλιπον φθίμενοι.

9. [Ib. VII 443.]

Τῶνδέ ποτ' ἐν στέρνοισι τανυγλώχινας ὀϊστοὺς 19
λοῦσεν φοινίσσα θοῦρος Ἄρης ψακάδι·

Digitized by Google

ἀντὶ δ' ἀκοντοδόκων ἀνδρῶν μνημεῖα θανόντων
ἄψυχ' ἐμψύχων ἅδε κέκευθε κόνις.

10. [Anth. Pal. VII 344.]

Θηρῶν μὲν κάρτιστος ἐγώ, θνατῶν δ' ὃν ἐγὼ νῦν 20
φρουρῶ, τῷδε τάφῳ λάϊνος ἐμβεβαώς.
ἀλλ' εἰ μὴ θυμόν γε Λέων ἐμὸν οὔνομά τ' εἶχεν,
οὐκ ἂν ἐγὼ τύμβῳ τῷδ' ἐπέθηκα πόδας.

11. [Anth. Pal. VII 302.]

Τῶν αὐτοῦ τις ἕκαστος ἀπολλυμένων ἀνιᾶται· 21
Νικόδικον δὲ φίλοι καὶ πόλις * ἔστεν' ὅλη.

12. [Ib. VII 516.]

Οἱ μὲν ἐμὲ κτείναντες ὁμοίων ἀντιτύχοιεν, 22
Ζεῦ Ξένι', οἱ δ' ὑπὸ γᾶν θέντες ὄναιντο βίου.

13. [Ib. VII 77.]

Οὗτος ὁ τοῦ Κείοιο Σιμωνίδεω ἐστὶ σαωτήρ, 23
ὃς καὶ τεθνηὼς ζῶντι παρέσχε χάριν.
(Cf. Cic. de Divin. I 27.)

14. [Hephaest. 26.]

Ἦ μέγ' Ἀθηναίοισι φόως γένεθ', ἡνίκ' Ἀριστο- 24
γείτων Ἵππαρχον κτεῖνε καὶ Ἁρμόδιος.

15. [Anth. Pal. VI 343.]

Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες 25
παῖδες Ἀθηναίων ἔργμασιν ἐν πολέμου
δεσμῷ ἐν ἀχλυόεντι σιδηρέῳ ἔσβεσαν ὕβριν·
τῶν ἵππους δεκάτην Παλλάδι τάσδ' ἔθεσαν.
(Cf. Herod. V 77.)

Digitized by Google

16. [Anth. Planud. 232.]

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων, 26
τὸν μετ' Ἀθηναίων στήσατο Μιλτιάδης.
(Cf. Herod. VI 105.)

17. [Anth. Pal. VI 197.]

Ἑλλάνων ἀρχαγὸς ἐπεὶ στρατὸν ὤλεσε Μήδων 27
Παυσανίας, Φοίβῳ μνᾶμ' ἀνέθηκε τόδε.
(Cf. Thuc. I 132, Her. IX 81.)

18. [Anth. Pal. VI 50.]

Τόνδε ποθ' Ἕλληνες νίκης κράτει ἔργῳ Ἄρηος, 28
εὐτόλμῳ ψυχῆς λήματι πειθόμενοι,
Πέρσας ἐξελάσαντες, ἐλευθέρᾳ Ἑλλάδι κοινὸν
ἱδρύσαντο Διὸς βωμὸν Ἐλευθερίου.

19. [Ib. VII 296.]

Ἐξ οὗ τ' Εὐρώπην Ἀσίας δίχα πόντος ἔνειμεν 29
καὶ πόλιας θνητῶν θοῦρος Ἄρης ἐφέπει,
οὐδενί πω κάλλιον ἐπιχθονίων γένετ' ἀνδρῶν
ἔργον ἐν ἠπείρῳ καὶ κατὰ πόντον ὁμοῦ.
5 *οἷδε γὰρ ἐν γαίῃ Μήδων πολλοὺς ὀλέσαντες*
Φοινίκων ἑκατὸν ναῦς ἕλον ἐν πελάγει
ἀνδρῶν πληθούσας· μέγα δ' ἔστενεν Ἀσὶς ὑπ' αὐτῶν
πληγεῖσ' ἀμφοτέραις χερσὶ κράτει πολέμου.

20. [Ib. VI 2.]

Τόξα τάδε πτολέμοιο πεπαυμένα δακρυόεντος 30
νηῷ Ἀθηναίης κεῖται ὑπωρόφια,
πολλάκι δὴ στονόεντα κατὰ κλόνον ἐν δαΐ φωτῶν
Περσῶν ἱππομάχων αἵματι λουσάμενα.

Digitized by Google

21. [Aristid. II 510.]

Μνήμην δ' οὔ τινά φημι Σιμωνίδῃ ἰσοφαρίζειν 31
ὀγδωκονταέτει παιδὶ Λεωπρέπεος.

22. [Anth. Pal. VII 348.]

Πολλὰ πιὼν καὶ πολλὰ φαγὼν καὶ πολλὰ κάκ' εἰπών 32
ἀνθρώπους κεῖμαι Τιμοκρέων Ῥόδιος.

23. [Ib. VII 24.]

Ἡμερὶ πανθέλκτειρα, μεθυτρόφε, μῆτερ ὀπώρας, 33
οὔλης ἢ σκολιὸν πλέγμα φύεις ἕλικος,
Τηΐου ἡβήσειας Ἀνακρείοντος ἐπ' ἄκρῃ
στήλῃ καὶ λεπτῷ χώματι τοῦδε τάφου,
5 *ὡς ὁ φιλάκρητός τε καὶ οἰνοβαρὴς φιλόκωμος*
παννύχιος κρούων τὴν φιλόπαιδα χέλυν,
κὴν χθονὶ πεπτηὼς κεφαλῆς ἐφύπερθε φέροιτο
ἀγλαὸν ὡραίων βότρυν ἀπ' ἀκρεμόνων,
καί μιν ἀεὶ τέγγοι νοτερὴ δρόσος, ἧς ὁ γεραιός
10 *λαρότερον μαλακῶν ἔπνεεν ἐκ στομάτων.*

24. [Ib. VII 25.]

Οὗτος Ἀνακρείοντα, τὸν ἄφθιτον εἵνεκα Μουσέων 34
ὑμνοπόλον, πάτρης τύμβος ἔδεκτο Τέω,
ὃς Χαρίτων πνείοντα μέλη, πνείοντα δ' Ἐρώτων
τὸν γλυκὺν ἐς παίδων ἵμερον ἡρμόσατο.
5 *μοῦνος δ' εἰν Ἀχέροντι βαρύνεται, οὐχ ὅτι λείπων*
ἠέλιον Λήθης ἐνθάδ' ἔκυρσε δόμων,
ἀλλ' ὅτι τὸν χαρίεντα μετ' ἠϊθέοισι Μεγιστέα
καὶ τὸν Σμερδίεω Θρῇκα λέλοιπε πόθον.
μολπῆς δ' οὐ λήθη μελιτερπέος, ἀλλ' ἔτ' ἐκεῖνον
10 *βάρβιτον οὐδὲ θανὼν εὔνασεν εἰν Ἀΐδῃ.*

Digitized by Google

VI. Aeschylus,

poeta tragicus. (v. infra sub poetis scaenicis.)

1. [Anth. Pal. VII 255.]

Κυανέη καὶ τούσδε μενεγχέας ὤλεσεν ἄνδρας 35
μοῖρα, πολύρρηνον πατρίδα ῥυομένους.
ζωὸν δὲ φθιμένων πέλεται κλέος, οἵ ποτε γυίοις
τλήμονες Ὀσσαίαν ἀμφιέσαντο κόνιν.

2. [Auct. vit. Aesch. p. 120 ed. West.]

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει 36
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας·
ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

VII. Thucydides,

scriptor rerum.

[Anth. Pal. VII 45.]

Μνῆμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, ὀστέα δ' ἴσχει 37
γῆ Μακεδών, τῇ γὰρ δέξατο τέρμα βίου·
πατρὶς δ' Ἑλλάδος Ἑλλάς, Ἀθῆναι. πλεῖστα δὲ μούσαις
τέρψας ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

VIII. Plato

Aristonis filius, philosophus.

1. [Anth. Pal. V 78.]

Τὴν ψυχήν, Ἀγάθωνα φιλῶν, ἐπὶ χείλεσιν ἔσχον· 38
ἦλθε γὰρ ἡ τλήμων ὡς διαβησομένη.

Digitized by Google

2. [Anth. Pal. VII 35.]

Ἄρμενος ἦν ξείνοισιν ἀνὴρ ὅδε καὶ φίλος ἀστοῖς, 39
Πίνδαρος, εὐφώνων Πιερίδων πρόπολος.

3. [Ib. VII 256.]

Οἵδε ποτ' Αἰγαίοιο βαρύβρομον οἶδμα λιπόντες 40
Ἐκβατάνων πεδίῳ κείμεθ' ἐνὶ μεσάτῳ.
χαῖρε, κλυτή ποτε πατρὶς Ἐρέτρια, χαίρετ', Ἀθῆναι
γείτονες Εὐβοίης· χαῖρε, θάλασσα φίλη.

4. [Ib. VII 259.]

Εὐβοίης γένος ἐσμὲν Ἐρετρικόν, ἄγχι δὲ Σούσων 41
κείμεθα· φεῦ, γαίης ὅσσον ἀφ' ἡμετέρης.
(Cf. Herod. VI 119.)

5. [Anth. Pal. VII 265.]

Ναυηγοῦ τάφος εἰμ', ὁ δ' ἐναντίον ἐστὶ γεωργοῦ· 42
ὡς ἀλὶ καὶ γαίῃ ξυνὸς ὕπεστ' Ἀΐδης.

6. [Ib. VII 669.]

Ἀστέρας εἰσαθρεῖς ἀστὴρ ἐμός· εἴθε γενοίμην 43
οὐρανός, ὡς πολλοῖς ὄμμασιν εἰς σὲ βλέπω.

7. [Ib. VII 670.]

Ἀστὴρ πρὶν μὲν ἔλαμπες ἐνὶ ζωοῖσιν Ἑῷος, 44
νῦν δὲ θανὼν λάμπεις Ἕσπερος ἐν φθιμένοις.

8. [Ib. IX 506.]

Ἐννέα τὰς Μούσας φασίν τινες· ὡς ὀλιγώρως· 45
ἠνίδε καὶ Σαπφὼ Λεσβόθεν ἡ δεκάτη.

9. [Ib. IX 823.]

Σιγάτω λάσιον Δρυάδων λέπας οἵ τ' ἀπὸ πέτρας 46
κρουνοὶ καὶ βληχὴ πουλυμιγὴς τοκάδων,

Digitized by Google

αὐτὸς ἐπεὶ σύριγγι μελίζεται εὐκελάδῳ Πάν,
ὑγρὸν ἱεὶς ζευκτῶν χεῖλος ὑπὲρ καλάμων·
5 αἱ δὲ πέριξ θαλεροῖσι χορὸν ποσὶν ἐστήσαντο
Ὑδριάδες νύμφαι, νύμφαι Ἁμαδρυάδες.

10. [Anth. Plan. 13.]

Ὑψίκομον παρὰ τάνδε καθίζεο φωνήεσσαν 47
φρίσσουσαν πυκνοῖς κῶνον ὑπὸ ζεφύροις,
καί σοι καχλάζουσιν ἐμοῖς παρὰ νάμασι σῦριγξ
θελγομένων στάξει κῶμα κατὰ βλεφάρων.

11. [Ib. 160.]

Ἡ Παφίη Κυθέρεια δι' οἴδματος ἐς Κνίδον ἦλθεν, 48
βουλομένη κατιδεῖν εἰκόνα τὴν ἰδίην.
πάντῃ δ' ἀθρήσασα περισκέπτῳ ἐνὶ χώρῳ
φθέγξατο· ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;

12. [Ib. 248.]

Τὸν Σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν· 49
ἢν νύξῃς, ἐγερεῖς· ἄργυρος ὕπνον ἔχει.

13. [Thomas Mag. vit. Aristophan. p. 160 West.]

Αἱ Χάριτες τέμενός τι λαβεῖν, ὅπερ οὐχὶ πεσεῖται, 50
ζητοῦσαι ψυχὴν εὗρον Ἀριστοφάνους.

14. [Anth. Pal. IX 39.]

Ἁ Κύπρις Μούσαισι· κοράσια, τὰν Ἀφροδίταν 51
τιμᾶτ', ἢ τὸν Ἔρωτ' ὔμμιν ἐφοπλίσομαι.
καὶ Μοῦσαι ποτὶ Κύπριν· Ἄρει τὰ στωμύλα ταῦτα·
ἡμῖν δ' οὐ πελάσει τοῦτο τὸ παιδάριον.

Digitized by Google

IX. Simmias Thebanus,

aequalis Socratis.

1. [Anth. Pal. VII 21.]

Τὸν σὲ χοροῖς μέλψαντα Σοφοκλέα, παῖδα Σοφίλλου, 52
τὸν τραγικῆς Μούσης ἀστέρα Κεκρόπιον,
πολλάκις ὀν θυμέλῃσι καὶ ἐν σκηνῇσι τεθηλώς
βλαισὸς Ἀχαρνίτης κισσὸς ἔρεψε κόμην,
5 τύμβος ἔχει κἀὶ γῆς ὀλίγον μέρος· ἀλλ' ὁ περισσός
αἰὼν ἀθανάτοις † δέρκεται ἐν σελίσιν.

2. [Ib. VII 22.]

Ἠρέμ' ὑπὲρ τύμβοιο Σοφοκλέος, ἠρέμα, κισσέ, 53
ἑρπύζοις χλοεροὺς ἐκπροχέων πλοκάμους·
καὶ πέταλον πάντῃ θάλλοι ῥόδου ἥ τε φιλορρώξ
ἄμπελος, ὑγρὰ πέριξ κλήματα χευαμένη,
5 εἵνεκεν εὐεπίης πιυντόφρονος, ἣν ὁ μελιχρός
ἤσκησεν Μουσῶν ἄμμιγα κἀκ Χαρίτων.

X. Demosthenes.

[Pseudoplut. vit. X orat.]

Εἴπερ ἴσην γνώμῃ ῥώμην, Δημόσθενες, εἶχες, 54
οὔ ποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

XI. Nicaenetus

Samius aut Abderita, floruisse videtur aetate Alexandri Magni.

[Anth. Pal. XIII 29.]

Οἶνός τοι χαρίεντι πέλει ταχὺς ἵππος ἀοιδῷ· 55
ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοις σοφόν.

Digitized by Google

τοῦτ' ἔλεγεν, Διόνυσε, καὶ ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ
Κρατῖνος, ἀλλὰ παντὸς ὠδώδει πίθου.
5 τοιγὰρ ὑπὸ στεφάνοις μέγας ἔβρυεν, εἶχε δὲ κισσῷ
μέτωπον ὥσπερ καὶ σὺ κεκροκωμένον.
(Cf. Hor. epist. I 19, 1 sq.)

XII. Archelaus

Aegyptius vixit sub Ptolemaeo I.

[Anth. Plan. 120.]

Τόλμαν Ἀλεξάνδρου καὶ ὅλαν ἀπεμάξατο μορφάν 56
Λύσιππος. τίν' ὁδὶ χαλκὸς ἔχει δύναμιν;
αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος ἐς Δία λεύσσων·
Γᾶν ὑπ' ἐμοὶ τίθεμαι, Ζεῦ, σὺ δ' Ὄλυμπον ἔχε.

XIII. Callimachus

Cyrenaicus floruit sub Ptolemaeo Philadelpho c. a. 280 a. Chr.

1. [Anth. Pal. VII 318.]

(Εἰς Τίμωνα τὸν μισάνθρωπον.)

Μὴ χαίρειν εἴπῃς με, κακὸν κέαρ, ἀλλὰ πάρελθε· 57
ἴσον ἐμοὶ χαίρειν ὥστε τὸ μὴ σὲ πελᾶν.

2. [Ib. XII 102.]

Ὠγρευτής, Ἐπίκυδες, ἐν οὔρεσι πάντα λαγωόν 58
διφᾷ καὶ πάσης ἴχνεα δορκαλίδος,
στίβῃ καὶ νιφετῷ κεχρημένος. ἤν δέ τις εἴπῃ·
τῇ, τόδε βέβληται θηρίον· οὐκ ἔλαβεν.
5 οὑμὸς ἔρως τοιόσδε· τὰ μὲν φεύγοντα διώκειν
οἶδε, τὰ δ' ἐν μέσσῳ κείμενα παρπέταται.
(Cf. Hor. serm. I 2, 105.)

Digitized by Google

3. [Anth. Pal. VII 451.]

Τᾷδε Σάων ὁ Δίκωνος Ἀκάνθιος ἱερὸν ὕπνον 59
κοιμᾶται. θνάσκειν μὴ λέγε τοὺς ἀγαθούς.

XIV. Asclepiades

Samius, aequalis Theocriti Syracusani.

1. [Anth. Pal. VII 145.]

Ἄδ' ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῷδε κάθημαι 60
Αἴαντος τύμβῳ, κειραμένα πλοκάμους,
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, εἰ παρ' Ἀχαιοῖς
ἁ δολόφρων Ἀπάτα κρέσσον ἐμεῦ δύναται.

2. [Ib. IX 64.]

Αὐταὶ ποιμαίνοντα μεσημβρινὰ μῆλά σε Μοῦσαι 61
ἔδρακον ἐν κραναοῖς οὔρεσιν, Ἡσίοδε,
καί σοι καλλιπέτηλον, † ἐρυσσάμεναι περὶ πᾶσαι,
ὤρεξαν δάφνας ἱερὸν ἀκρεμόνα·
5 *δῶκαν δὲ κράνας Ἑλικωνίδος ἔνθεον ὕδωρ,*
τὸ πτανοῦ πώλου πρόσθεν ἔκοψεν ὄνυξ,
οὗ σὺ κορεσσάμενος μακάρων γένος ἔργα τε μολπαῖς
καὶ γένος ἀρχαίων ἔγραφες ἡμιθέων.

(Cf. Hes. Theog. 1, 5 sq. p. 54.)

XV. Leonidas

Tarentinus floruit aetate Pyrrhi regis Epiri.

1. [Anth. Pal. VI 13.]

Οἱ τρισσοί τοι ταῦτα τὰ δίκτυα θῆκαν ὅμαιμοι, 62
ἀγρότα Πάν, ἄλλης ἄλλος ἀπ' ἀγρεσίης·

Digitized by Google

ὧν ἀπὸ μὲν πτηνῶν Πίγρης τάδε, ταῦτα δὲ Δᾶμις
τετραπόδων, Κλείτωρ δ' ὁ τρίτος εἰναλίων.
5 ἀνθ' ὧν τῷ μὲν πέμπε δι' ἠέρος εὔστοχον ἄγρην,
τῷ δὲ διὰ δρυμῶν, τῷ δὲ δι' ἠϊόνων.

2. [Anth. Pal. VII 13. cfr. epigr. 5.]

Παρθενικὰν νεαοιδὸν ἐν ὑμνοπόλοισι μέλισσαν 63
Ἤρινναν, Μουσῶν ἄνθεα δρεπτομέναν,
Ἅιδας εἰς ὑμέναιον ἀνάρπασεν. ἦ ῥα τόδ' ἔμφρων
εἶπ' ἐτύμως ἁ παῖς· Βάσκανος ἔσσ', Ἀΐδα.

3. [Ib. VII 67.]

Ἀΐδεω λυπηρὲ διήκονε, τοῦτ' Ἀχέροντος 64
ὕδωρ ὃς πλώεις πορθμίδι κυανέῃ,
δέξαι μ', εἰ καί σοι μέγα βρίθεται ἁ κρυόεσσα
βᾶρις ἀποφθιμένων, τὸν κύνα Διογένην.
5 ὄλπη μοι καὶ πήρη ἐφόλκια καὶ τὸ παλαιόν
ἔσθος χὠ φθιμένους ναυστολέων ὀβολός·
πάνθ' ὅσα κἦν ζωοῖς ἐπεπάμεθα, ταῦτα παρ' Ἅιδαν
ἔρχομ' ἔχων· λείπω δ' οὐδὲν ὑπ' ἠελίῳ.

4. [Ib. VII 408.]

Ἀτρέμα τὸν τύμβον παραμείβετε, μὴ τὸν ἐν ὕπνῳ 65
πικρὸν ἐγείρητε σφῆκ' ἀναπαυόμενον.
ἄρτι γὰρ Ἱππώνακτος ὁ † καὶ τοκέων καταβαύξας,
ἄρτι κεκοίμηται θυμὸς ἐν ἡσυχίῃ.
5 ἀλλὰ προμηθήσασθε· τὰ γὰρ πεπυρωμένα κείνου
ῥήματα πημαίνειν οἶδε καὶ εἰν Ἀΐδῃ.

5. [Ib. IX 24.]

Ἄστρα μὲν ἡμαύρωσε καὶ ἱερὰ κύκλα σελήνης 66
ἄξονα δινήσας ἔμπυρον ἠέλιος·

Digitized by Google

ὑμνοπόλους δ' ἀγεληδὸν ἀπημάλδυνεν Ὅμηρος,
λαμπρότατον Μουσῶν φέγγος ἀνασχόμενος.

6. [Anth. Pal. IX 25.]

Γράμμα τόδ' Ἀρήτοιο δαήμονος, ὅς ποτε λεπτῇ 67
φροντίδι δηναιοὺς ἀστέρας ἐφράσατο,
ἀπλανέας τ' ἄμφω καὶ ἀλήμονας, οἷσιν ἐναργής
ἰλλόμενος κύκλοις οὐρανὸς ἐνδέδεται.
5 αἰνείσθω δὲ καμὼν ἔργον μέγα καὶ Διὸς εἶναι
δεύτερος, ὅστις ἔθηκ' ἄστρα φαεινότερα.
(Cf. Cic. de nat. deor. II 41, 104.)

7. [Anth. Pal. IX 99.]

Ἴξαλος εὐπώγων αἰγὸς πόσις ἔν ποθ' ἁλωῇ 68
οἴνης τοὺς ἁπαλοὺς πάντας ἔδαψε κλάδους.
τῷ δ' ἔπος ἐκ γαίης τόσον ἄπυε· Κεῖρε, κάκιστε,
γναθμοῖς ἡμέτερον κλῆμα τὸ καρποφόρον·
5 ῥίζα γὰρ ἔμπεδος οὖσα πάλιν γλυκὺ νέκταρ ἀνήσει,
ὅσσον ἐπισπεῖσαι σοί, τράγε, θυομένῳ.

8. [Anth. Plan. 306.]

Πρέσβυν Ἀνακρείοντα χύδαν σεσαλαγμένον οἴνῳ 69
θάεο, δινωτοῦ στρεπτὸν ὕπερθε λίθου,
ὡς ὁ γέρων λίχνοισιν ἐπ' ὄμμασιν ὑγρὰ δεδορκὼς
ἄχρι καὶ ἀστραγάλων ἕλκεται ἀμπεχόναν·
5 δισσῶν δ' ἀρβυλίδων τὰν μὲν μίαν οἷα μεθυπλήξ
ὤλεσεν, ἐν δ' ἑτέρᾳ ῥικνὸν ἄραρε πόδα.
μέλπει δ' ἠὲ Βάθυλλον ἐφίμερον ἠὲ Μεγιστέα,
αἰωρῶν παλάμᾳ τὰν δυσέρωτα χέλυν.
ἀλλά, πάτερ Διόνυσε, φύλασσέ μιν· οὐ γὰρ ἔοικεν
10 ἐκ Βάκχου πίπτειν Βαχιακὸν θέραπα.

Digitized by Google

XVI. Theocritus

Syracusanus, bucolicus poeta.

1. [Anth. Pal. VI 337.]

Ἦλθε καὶ ἐς Μίλητον ὁ τοῦ Παιήονος υἱός, 70
ἰητῆρι νόσων ἀνδρὶ συνοισόμενος,
Νικίᾳ, ὅς μιν ἐπ' ἦμαρ ἀεὶ θυέεσσιν ἱκνεῖται·
καὶ τόδ' ἀπ' εὐώδους γλύψατ' ἄγαλμα κέδρου,
5 Ἠετίωνι χάριν γλαφυρᾶς χερὸς ἄκρον ὑποστάς
μισθόν· ὁ δ' εἰς ἔργον πᾶσαν ἀφῆκε τέχνην.

2. [Ib. VI 177.]

Δάφνις ὁ λευκόχρως, ὁ καλᾷ σύριγγι μελίσδων 71
βουκολικοὺς ὕμνους, ἄνθετο Πανὶ τάδε,
τοὺς τρητοὺς δόνακας, τὸ λαγωβόλον, ὀξὺν ἄκοντα,
νεβρίδα, τὰν πήραν, ᾇ ποκ' ἐμαλοφόρει.

3. [Ib. XIII 3.]

Trimetri iambici claudi sive Hipponactei (χωλίαμβοι).

⏑̄ – ⏑ – ⏑̄ – ⏑ – ⏑̄ – – ⏑̄

Ὁ μουσοποιὸς ἐνθάδ' Ἱππῶναξ κεῖται. 72
εἰ μὲν πονηρός, μὴ ποτέρχευ τῷ τύμβῳ·
εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,
θαρσέων καθίζευ κἢν θέλῃς ἀπόβριξον.

4. [Ib. VI 336.]

Τὰ ῥόδα τὰ δροσόεντα καὶ ἁ κατάπυκνος ἐκείνα 73
ἕρπυλλος κεῖται ταῖς Ἑλικωνιάσι,
ταὶ δὲ μελάμφυλλοι δάφναι τίν, Πύθιε Παιάν,
Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλάϊσε.

Digitized by Google

5 βωμὸν δ' αἱμαξεῖ κεραὸς τράγος οὗτος ὁ μαλός,
τερμίνθου τρώγων ἔσχατον ἀκρεμόνα.

XVII. Mnasalcas

Sicyonius floruisse videtur circ. a. 250 a. Chr.

1. [Anth. Pal. VI 9.]

Σοὶ μὲν καμπύλα τόξα καὶ ἰοχέαιρα φαρέτρη 74
δῶρα παρὰ Προμάχου, Φοῖβε, τάδε κρέμαται·
ἰοὺς δὲ πτερόεντας ἀνὰ κλόνον ἄνδρες ἔχουσιν
ἐν κραδίαις, ὀλοὰ ξείνια δυσμενέων.

2. [Ib. VII 54.]

Ἄσκρη μὲν πατρὶς πολυλήϊος, ἀλλὰ θανόντος 75
ὀστέα πληξίππων γῆ Μιυυῶν κατέχει
Ἡσιόδου, τοῦ πλεῖστον ἐν ἀνθρώποις κλέος ἐστίν,
ἀνδρῶν κρινομένων ἐν βασάνῳ σοφίης.

XVIII. Dioscorides

vixit exeunte tertio a. Chr. saeculo.

1. [Anth. Pal. VII 229.]

Τᾷ Πιτάνᾳ Θρασύβουλος ἐπ' ἀσπίδος ἤλυθεν ἄπνους 76
ἑπτὰ πρὸς Ἀργείων τραύματα δεξάμενος,
δεικνὺς ἀντία πάντα· τὸν αἱματόεντα δ' ὁ πρέσβυς
παῖδ' ἐπὶ πυρκαϊὴν Τύννιχος εἶπε τιθείς·
5 Δειλοὶ κλαιέσθωσαν, ἐγὼ δὲ σέ, τέκνον, ἄδακρυς
θάψω, τὸν καὶ ἐμὸν καὶ Λακεδαιμόνιον.

Digitized by Google

2. [Anth. Pal. VII 434.]

Εἰς δηΐων πέμψασα λόχους Δημαινέτη ὀκτώ 77
παῖδας ὑπὸ στήλῃ πάντας ἔθαπτε μιᾷ·
δάκρυα δ' οὐκ ἔρρηξ' ἐπὶ πένθεσιν, ἀλλὰ τόδ' εἶπεν
μοῦνον· Ἰὼ Σπάρτα, σοὶ τέκνα ταῦτ' ἔτεκον.

3. [Ib. VII 411.]

Θέσπιδος εὕρεμα τοῦτο, τά τ' ἀγροιῶτιν ἀν' ὕλαν 78
παίγνια καὶ κώμους τούσδε τελειοτέρους
Αἰσχύλος ἐξύψωσεν, ὁ μὴ σμιλευτὰ χαράξας
γράμματα, χειμάρρῳ δ' οἷα καταρδόμενα·
5 *καὶ τὰ κατὰ σκηνὴν κατεκαίνισεν. ὦ στόμα πάντων*
δεξιόν, ἀρχαίων ἥσθά τις ἡμιθέων.

4. [Ib. VII 410.]

Θέσπις ὅδε, τραγικὴν ὃς ἀνέπλασε πρῶτος ἀοιδήν, 79
κωμήταις νεαρὰς καινοτομῶν χάριτας,
* *Βάκχος ὅτε τριττὺν κάτ' ἄγοι χορόν, ᾧ τράγος ἄθλων*
χὠττικὸς ἦν σύκων ἄρριχος ἆθλον ἔτι.
5 *οἱ δὲ μεταπλάσσουσι νέοι τάδε, μυρίος αἰὼν*
*πολλὰ προσευρήσει χἄτερα· * τἀμὰ δ' ἐμά.*

XIX. Antipater

Sidonius flor. c. a. 100 a. Chr. (diversus ab A. Thessalonicensi sive Macedone item epigrammatographo, qui aetate Augusti vel Tiberii vixit).

1. [Anth. Pal. VII 8.]

Οὐκέτι θελγομένας, Ὀρφεῦ, δρύας, οὐκέτι πέτρας 80
ἄξεις, οὐ θηρῶν ὑλονόμους ἀγέλας·

Digitized by Google

οὐκέτι κοιμάσεις ἀνέμων βρόμον, οὐχὶ χάλαζαν,
οὐ νιφετῶν συρμούς, οὐ παταγεῦσαν ἅλα.
5 ὤλεο γάρ· σὲ δὲ πολλὰ κατωδύραντο θύγατρες
Μναμοσύνας, μάτηρ δ' ἔξοχα Καλλιόπα.
τί φθιμένοις στοναχεῦμεν ἐφ' υἱάσιν, ἀνίκ' ἀλαλκεῖν
τῶν παίδων Ἀΐδην οὐδὲ θεοῖς δύναμις;

2. [Anth. Plan. 296.]

Οἱ μέν σευ Κολοφῶνα τιθηνήτειραν, Ὅμηρε, 81
οἱ δὲ καλὰν Σμύρναν, οἱ δ' ἐνέπουσι Χίον,
οἱ δ' Ἴον, οἱ δ' ἐβόασαν ἐΰκλαρον Σαλαμῖνα,
οἱ δέ νυ τῶν Λαπιθέων ματέρα Θεσσαλίαν·
5 ἄλλοι δ' ἄλλαν γαῖαν ἀνίαχον. εἰ δέ με Φοίβου
χρὴ λέξαι πινυτὰς ἀμφαδὰ μαντοσύνας,
πάτρα σοι τελέθει μέγας Οὐρανός, ἐκ δὲ τεκούσης
οὐ θνατᾶς, ματρὸς δ' ἔπλεο Καλλιόπας.

3. [Anth. Pal. VII 14.]

Σαπφώ τοι κεύθεις, χθὼν Αἰολί, τὰν μετὰ Μούσαις 82
ἀθανάταις θνατὰν Μοῦσαν ἀειδομέναν,
ἂν Κύπρις καὶ Ἔρως σὺν ἅμ' ἔτραφον, ἃς μέτα Πειθὼ
ἔπλεκ' ἀείζωον Πιερίδων στέφανον,
5 Ἑλλάδι μὲν τέρψιν, σοὶ δὲ κλέος. ὦ τριέλικτον
Μοῖραι δινεῦσαι νῆμα κατ' ἠλακάτας,
πῶς οὐκ ἐκλώσασθε πανάφθιτον ἦμαρ ἀοιδῷ
ἄφθιτα μησαμένᾳ δῶρ' Ἑλικωνιάδων;

4. [Ib. VII 745.]

Ἴβυκε, ληϊσταί σε κατέκτανον † ἔκ ποτε νήσου 83
βάντ' ἐς ἐρημαίην ἄστιβον ἠϊόνα,

Digitized by Google

ἀλλ' ἐπιβωσάμενον γεράνων νέφος, αἵ τοι ἵκοντο
μάρτυρες ἄλγιστον ὀλλυμένῳ θάνατον.
5 οὐδὲ μάτην ἰάχησας, ἐπεὶ ποινῆτις Ἐρινύς
τῶνδε διὰ κλαγγὴν τίσατο σεῖο φόνον
Σισυφίην κατὰ γαῖαν. ἰὼ φιλοκερδέα φῦλα
ληϊστέων, τί θεῶν οὐ πεφόβησθε χόλον;
οὐδὲ γὰρ ὁ προπάροιθε κανὼν Αἴγισθος ἀοιδόν
10 ὄμμα μελαμπέπλων ἔκφυγεν Εὐμενίδων.

5. [Anth. Pal. VII 23.]

Θάλλοι τετρακόρυμβος, Ἀνάκρεον, ἀμφὶ σὲ κισσός 84
ἁβρά τε λειμώνων πορφυρέων πέταλα.
πηγαὶ δ' ἀργινόεντος ἀναθλίβοιντο γάλακτος,
εὐῶδες δ' ἀπὸ γῆς ἡδὺ χέοιτο μέθυ,
5 ὄφρα κέ τοι σποδιή τε καὶ ὀστέα τέρψιν ἄρηται,
εἰ δή τις φθιμένοις χρίμπτεται εὐφροσύνα,
ὦ τὸ φίλον στέρξας, φίλε, βάρβιτον, ὦ σὺν ἀοιδᾷ
πάντα διαπλώσας καὶ σὺν ἔρωτι βίον.

6. [Anth. Plan. 305.]

Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν, 85
τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς·
οὐδὲ μάτην ἁπαλοῖς ξουθὸς περὶ χείλεσιν ἑσμός
ἔπλασε κηρόδετον, Πίνδαρε, σεῖο μέλι.
5 μάρτυς ὁ Μαινάλιος κερόεις θεός, ὕμνον ἀείσας
τὸν σέο καὶ νομίων λησάμενος δονάκων.

7. [Ib. 167.]

Φάσεις τὰν μὲν Κύπριν ἀνὰ κραναὰν Κνίδον ἀθρῶν, 86
ἅδε που ὡς φλέξει καὶ θεὸς εὖσα λίθον,

Digitized by Google

τὸν δ' ἐνὶ Θεσπιάδαις γλυκὺν Ἵμερον, οὐχ ὅτι πέτρον,
ἀλλ' ὅτι κἠν ψυχρῷ πῦρ ἀδάμαντι βαλεῖ.
5 τοίους Πραξιτέλης κάμε δαίμονας, ἄλλον ἐπ' ἄλλας
γᾶς, ἵνα μὴ δισσῷ πάντα θέροιτο πυρί.

8. [Anth. Pal. IX 58.]

Καὶ κραναᾶς Βαβυλῶνος ἐπίδρομον ἅρμασι τεῖχος 87
καὶ τὸν ἐπ' Ἀλφειῷ Ζᾶνα κατηυγασάμην
κάπων τ' αἰώρημα καὶ Ἠελίοιο κολοσσόν
καὶ μέγαν αἰπεινᾶν πυραμίδων κάματον
5 μνᾶμά τε Μαυσώλοιο πελώριον· ἀλλ' ὅτ' ἐςεῖδον
Ἀρτέμιδος νεφέων ἄχρι θέοντα δόμον,
κεῖνα μὲν * ἠμαύρωσ' ὅδε κἠνίδε νόσφιν Ὀλύμπου
Ἅλιος οὐδέν πω τοῖον ἐπηυγάσατο.

XX. Hegesippus

incertae aetatis.

1. [Anth. Pal. VII 320.]

Ὀξεῖαι πάντῃ περὶ τὸν τάφον εἰσὶν ἄκανθαι 88
καὶ σκόλοπες, βλάψεις τοὺς πόδας, ἢν προσίῃς·
Τίμων μισάνθρωπος ἐνοικέω· ἀλλὰ πάρελθε,
οἰμώζειν εἴπας πολλά, πάρελθε μόνον.

2. [Ib. VI 178.]

Δέξαι μ', Ἡράκλεις, Ἀρχεστράτου ἱερὸν ὅπλον, 89
ὄφρα ποτὶ ξεστὰν παστάδα κεκλιμένα
γηραλέα τελέθοιμι, χορῶν ἀΐουσα καὶ ὕμνων·
ἀρκείτω στυγερὰ δῆρις Ἐνυαλίου.

Digitized by Google

XXI. Ptolemaeus

incertae aetatis.

1. [Anth. Pal. VII 314.]

Μὴ πόθεν εἰμὶ μάθῃς μηδ' οὔνομα, πλὴν ὅτι θνήσκειν 90
τοὺς παρ' ἐμὴν στήλην ἐρχομένους ἐθέλω.

XXII. Tymnes.

[Anth. Pal. VII 433.]

Τὸν παραβάντα νόμους Δαμάτριον ἔκτανε μάτηρ, 91
ἁ Λακεδαιμονία τὸν Λακεδαιμόνιον.
θηκτὸν δ' ἐν προβολᾷ θεμένα ξίφος εἶπεν, ὀδόντα
ὀξὺν ἐπιβρύκουσ', οἷα Λάκαινα γυνά·
5 *Ἔρρε, κακὸν σκυλάκευμα, κακὰ μερίς, ἔρρε ποθ' ᾅδαν,*
ἔρρε· τὸν οὐ Σπάρτας ἄξιον οὐδ' ἔτεκον.

XXIII. Meleager

Gadareus floruit primo a. Chr. saeculo; quae praestantissima videbantur superiorum scriptorum epigrammata collegit *κατὰ στοιχεῖα* disposita eique syllogae nomen *Στέφανος*, Corona, inditum est.

1. [Anth. Pal. V 177.]

Κηρύσσω τὸν Ἔρωτα, τὸν ἄγριον· ἄρτι γάρ, ἄρτι 92
ὀρθρινὸς ἐκ κοίτας ᾤχετ' ἀποπτάμενος.
ἔστι δ' ὁ παῖς γλυκύδακρυς, ἀείλαλος, ὠκύς, ἀθαμβής,
σιμὰ γελῶν, πτερόεις νῶτα, φαρετροφόρος.
5 *πατρὸς δ' οὐκέτ' ἔχω φράζειν τίνος· οὔτε γὰρ Αἰθήρ,*
οὐ Χθών φησι τεκεῖν τὸν θρασύν, οὐ Πέλαγος·

Digitized by Google

πάντῃ γὰρ καὶ πᾶσιν ἀπέχθεται. ἀλλ' ἐςορᾶτε
μή που νῦν ψυχαῖς ἄλλα τίθησι λίνα.
καίτοι κεῖνος, ἰδού, περὶ φωλεόν· οὔ με λέληθας,
10 τοξότα, Ζηνοφίλας ὅμμασι κρυπτόμενος.

2. [Anth. Pal. V 178.]

Πωλείσθω καὶ ματρὸς ἔτ' ἐν κόλποισι καθεύδων, 93
πωλείσθω· τί δέ μοι τὸ θρασὺ τοῦτο τρέφειν;
καὶ γὰρ σιμὸν ἔφυ καὶ ὑπόπτερον, ἄκρα δ' ὄνυξιν
κνίζει καὶ κλαῖον πολλὰ μεταξὺ γελᾷ,
5 πρὸς δ' ἔτι λοιπὸν ἄτρεπτον, ἀείλαλον, ὀξὺ δεδορκός,
ἄγριον, οὐδ' αὐτῇ ματρὶ φίλῃ τιθασόν·
πάντα τέρας. τοιγὰρ πεπράσεται· εἴ τις ἀπόπλους
ἔμπορος ὠνεῖσθαι παῖδα θέλει, προσίτω.
καίτοι λίσσετ', ἰδού, δεδακρυμένος. οὔ σ' ἔτι πωλῶ,
10 θάρσει· Ζηνοφίλᾳ σύντροφος ὧδε μένε.

3. [Ib. V 179.]

Ναὶ τὰν Κύπριν, Ἔρως, φλέξω τὰ σὰ πάντα πυρώσας, 94
τόξα τε καὶ Σκυθικὴν ἰοδόκον φαρέτρην·
φλέξω, ναί. τί μάταια γελᾷς καὶ σιμὰ σεσηρώς
μυχθίζεις; τάχα που σαρδάνιον γελάσεις.
5 ἦ γάρ σευ τὰ ποδηγὰ πόθων ὠκύπτερα κόψας,
χαλκόδετον σφίγξω σοῖς περὶ ποσσὶ πέδην.
καίτοι Καδμεῖον κράτος οἶσομεν, εἴ σε πάροικον
ψυχῇ συζεύξω, λύγκα παρ' αἰπολίοις.
ἀλλ' ἴθι, δυσνίκητε, λαβὼν δ' ἔπι κοῦφα πέδιλα
10 ἐκπέτασον ταχινὰς εἰς ἑτέρους πτέρυγας.

4. [Ib. VII 476.]

Δάκρυά σοι καὶ νέρθε διὰ χθονός, Ἡλιοδώρα, 95
δωροῦμαι, στοργᾶς λείψανον, εἰς Ἀΐδαν,

Digitized by Google

δάκρυα δυσδάκρυτα· πολυκλαύτῳ δ' ἐπὶ τύμβῳ
σπένδω μνᾶμα πόθων, μνᾶμα φιλοφροσύνας.
5 οἰκτρὰ γάρ, οἰκτρὰ φίλαν σε καὶ ἐν φθιμένοις Μελέαγρος
αἰάζω, κενεὰν εἰς Ἀχέροντα χάριν.
αἰαῖ, ποῦ τὸ ποθεινὸν ἐμοὶ θάλος; ἅρπασεν Ἅιδας,
ἅρπασεν, ἀκμαῖον δ' ἄνθος ἔφυρε κόνις.
ἀλλά σε γουνοῦμαι, Γᾶ παντρόφε, τὰν πανόδυρτον
10 ἠρέμα σοῖς κόλποις, μᾶτερ, ἐναγκάλισαι.

5. [Anth. Pal. IX 331.]

Αἶ νύμφαι τὸν Βάκχον, ὅτ' ἐκ πυρὸς ἦλαθ' ὁ κοῦρος, 96
νίψαν ὑπὲρ τέφρης ἄρτι κυλιόμενον.
τοὔνεκα σὺν νύμφαις Βρόμιος φίλος· ἢν δέ νιν εἴργῃς
μίσγεσθαι, δέξῃ πῦρ ἔτι καιόμενον.

6. [Anth. Plan. 134.]

Ταντὰλὶ παῖ, Νιόβα, κλύ' ἐμὰν φάτιν, ἄγγελον ἄτας, 97
δέξαι σῶν ἀχέων οἰκτροτάταν σκυτάλαν·
λῦε κόμας ἀνάδεσμον, ἰώ, βαρυπενθέσι Φοίβου
γειναμένα τόξοις ἀρσενόπαιδα γόνον·
5 οὔ σοι παῖδες ἔτ' εἰσίν. ἀτὰρ τί τόδ' ἄλλο; τί λεύσσω;
αἰαῖ, πλημμυρεῖ παρθενικαῖσι φόνος.
ἁ μὲν γὰρ ματρὸς περὶ γούνασιν, ἁ δ' ἐνὶ κόλποις
κέκλιται, ἁ δ' ἐπὶ γᾶς, ἁ δ' ἐπιμαστίδιος·
ἄλλα δ' ἀντωπὸν θαμβεῖ βέλος, ἁ δ' ἐπ' ὀϊστοῖς
10 πτώσσει, τᾶς δ' ἔμπνουν ὄμμ' ἔτι φῶς ὁράᾳ.
ἁ δέ, λάλον στέρξασα πάλαι στόμα, νῦν ὑπὸ θάμβευς
μάτηρ σαρκοπαγὴς οἷα πέπηγε λίθος.

Digitized by Google

XXIV. Archias,

fortasse idem, qui a Cicerone defensus est a. 62 a. Chr.

[Anth. Pal. VII 147.]

Μοῦνος ἐναιρομένοισιν ὑπέρμαχος ἀσπίδα τείνας, 98
νηυσὶ βαρὺν Τρώων, Αἶαν, ἔμεινας ἄρην·
οὐδέ σε χερμαδίων ὦσεν κτύπος, οὐ νέφος ἰῶν,
οὐ πῦρ, οὐ δοράτων, οὐ ξιφέων πάταγος·
5 *ἀλλ' αὔτως προβλής τε καὶ ἔμπεδος, ὥς τις ἐρίπνα,*
ἱδρυθεὶς ἔτλης λαίλαπα δυσμενέων.
εἰ δέ σε μὴ τεύχεσσιν Ἀχιλλέος ὥπλισεν Ἑλλάς,
ἄξιον ἀντ' ἀρετᾶς ὅπλα ποροῦσα γέρας,
Μοιράων βουλῇσι τάδ' ἤμπλακεν, ὡς ἂν ὑπ' ἐχθρῶν
10 *μή τινος, ἀλλὰ σὺ σῇ πότμον ἕλῃς παλάμῃ.*

(Cfr. epig. 60.)

XXV. Archias

Mytilenaeus.

[Anth. Pal. VII 696.]

Αἰωρῇ, θήρειον ἱμασσόμενος δέμας αὔραις, 99
τλᾶμον, ἀορτηθεὶς ἐκ λασίας πίτυος,
αἰωρῇ· Φοίβῳ γὰρ ἀνάρσιον εἰς ἔριν ἔστης,
πρῶνα Κελαινίτην ναιετάων, Σάτυρε.
5 *σεῦ δὲ βοὰν αὐλοῖο μελίβρομον οὐκέτι Νύμφαι,*
ὡς πάρος, ἐν Φρυγίοις οὔρεσι πευσόμεθα.

(Cfr. Xen. Anab. I 2, 8.)

XXVI. Cornelius Gallus,

aequalis Vergilii.

[Anth. Plan. 117.]

Οὔ σε, μάκαρ Κυνέγειρ', ἀτενῶς Κυνέγειρον ἔγραψε 100
Φᾶσις, ἐπεὶ βριαραῖς ἄνθετο σὺν παλάμαις·

Digitized by Google

ἀλλὰ σοφός τις ἔην ὁ ζωγράφος, οὐδέ σε χειρῶν
νόσφισε, τὸν χειρῶν οὕνεκεν ἀθάνατον.

[Anth. Plan. 89.]

Οὗτος ὁ πρὶν μακάρεσσι συνέστιος, οὗτος ὁ νηδὺν 101
πολλάκι νεκταρέου πλησάμενος πόματος,
νῦν λιβάδος θνητῆς ἱμείρεται· ἡ φθονερὴ δέ
κρᾶσις ἀεὶ χείλους ἐστὶ ταπεινοτέρη.
5 πῖνε, λέγει τὸ τόρευμα, καὶ ὄργια μάνθανε σιγῆς·
οἱ γλώττῃ προπετεῖς ταῦτα κολαζόμεθα.

XXVII. Bianor

Bithynus vixit temporibus Augusti et Tiberii.

1. [Anth. Pal. VII 387.]

Θειονόης ἔκλαιον ἐμῆς μόρον, ἀλλ' ἐπὶ παιδός 102
ἐλπίσι κουφοτέρας ἔστενον εἰς ὀδύνας.
νῦν δ' ἔτι καὶ παιδὸς φθονερή μ' ἀπενόσφισε Μοῖρα·
φεῦ, βρέφος, ἐψεύσθην καὶ σὲ τὸ λειπόμενον.
5 Περσεφόνη, τόδε πατρὸς ἐπὶ θρήνοισιν ἄκουσον·
θὲς βρέφος ἐς κόλπους μητρὸς ἀποιχομένης.

2. [Ib. VII 396.]

Οἰδίποδος παίδων Θήβη τάφος· ἀλλ' ὁ πανώλης 103
τύμβος ἔτι ζώντων αἰσθάνεται πολέμων.
κείνους οὔτ' Ἀΐδης ἐδαμάσσατο, κὴν Ἀχέροντι
μάρναται· κείνων χὠ τάφος ἀντίπαλος,
5 καὶ πυρὶ πῦρ ἤλεγξαν ἐναντίον. ὦ ἐλεεινοί
παῖδες, ἀκοιμήτων ἁψάμενοι δοράτων.

Digitized by Google

XXVIII. Antiphilos

Byzantius vixit Tiberio imperatore.

1. [Anth. Plan. 136.]

Τὰν ὁλοὰν Μήδειαν ὅτ' ἔγραφε Τιμομάχου χείρ, 104
ζάλῳ καὶ τέκνοις ἀντιμεθελκομέναν,
μυρίον ἄρατο μόχθον, ἵν' ἤθεα δισσὰ χαράξῃ,
ὧν τὸ μὲν εἰς ὀργὰν νεῦε, τὸ δ' εἰς ἔλεον.
ἄμφω δ' ἐπλήρωσεν· ὅρα τύπον· ἐν γὰρ ἀπειλᾷ
δάκρυον, ἐν δ' ἐλέῳ θυμὸς ἀναστρέφεται.
ἀρκεῖ δ' ἁ μέλλησις, ἔφα σοφός· αἷμα δὲ τέκνων
ἔπρεπε Μηδείῃ κοὐ χερὶ Τιμομάχου.

2. [Ib. 333.]

Ἡ πήρη καὶ χλαῖνα καὶ ὕδασι πιληθεῖσα 105
μᾶζα καὶ ἡ πρὸ ποδῶν ῥάβδος ἐρειδομένη
καὶ δέπας ἐκ κεράμοιο σοφῷ κυνὶ μέτρα βίοιο
ἄρκια· κἠν τούτοις ἦν τι περισσότερον·
κοίλαις γὰρ πόμα χερσὶν ἰδὼν ἀρύοντα βοώτην
εἶπε· Τί καὶ σὲ μάτην, ὄστρακον, ἠχθοφόρουν;

XXIX. Lucillius

floruit aetate Neronis.

1. [Anth. Pal. XI 163.]

Πρὸς τὸν μάντιν Ὄλυμπον Ὀνήσιμος ἦλθ' ὁ παλαιστής 106
καὶ πένταθλος Ὕλας καὶ σταδιεὺς Μενεκλῆς,
τίς μέλλει νικᾶν αὐτῶν τὸν ἀγῶνα θέλοντες
γνῶναι· κἀκεῖνος τοῖς ἱεροῖς ἐνιδών,
„Πάντες" ἔφη „νικᾶτε, μόνον μή τις σὲ παρέλθῃ
καὶ σὲ καταστρέψῃ καὶ σὲ παρατροχάσῃ."

Digitized by Google

2. [Anth. Pal. XI 176.]

Τὸν πτανὸν Ἑρμᾶν, τὸν θεῶν ὑπηρέταν, 107
τὸν Ἀρκάδων ἄνακτα, τὸν βοηλάταν,
ἑστῶτα τῶνδε γυμνασίων ἐπίσκοπον,
ὁ νυκτικλέπτας Αὖλος εἶπε βαστάσας·
5 Πολλοὶ μαθηταὶ κρείσσονες διδασκάλων.

3. [Ib. XI 214.]

Γράψας Δευκαλίωνα, Μενέστρατε, καὶ Φαέθοντα 108
ζητεῖς, τίς τούτων ἄξιός ἐστι τίνος.
τοῖς ἰδίοις αὐτοὺς τιμήσομεν· ἄξιος ὄντως
ἔστι πυρὸς Φαέθων, Δευκαλίων δ' ὕδατος.

XXX. Philippus

Thessalonicensis vixit exeunte primo post Chr. saeculo. Poetarum, qui post Meleagrum exstitere, epigrammata ad Gadarei exemplum in novam Coronam collegit.

1. [Anth. Plan. 81.]

Ἦ θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ, εἰκόνα δείξων, 109
Φειδία, ἢ σύ γ' ἔβης τὸν θεὸν ὀψόμενος.

2. [Anth. Pal. VI 236.]

Ἔμβολα χαλκογένεια, φιλόπλοα τεύχεα νηῶν, 110
Ἀκτιακοῦ πολέμου κείμενα μαρτύρια,
ἠνίδε σιμβλεύει κηρότροφα δῶρα μελισσῶν,
ἑσμῷ βομβητῇ κυκλόσε βριθόμενα.
5 Καίσαρος εὐνομίης χρηστὴ χάρις· ὅπλα γὰρ ἐχθρῶν
καρποὺς εἰρήνης ἀντεδίδαξε τρέφειν.

Digitized by Google

3. [Anth. Pal. VII 405.]

Ὦ ξεῖνε, φεῦγε τὸν χαλαζεπῆ τάφον, 111
τὸν φρικτόν, Ἱππώνακτος, οὗ τε χἀ τέφρα
ἰαμβιάζει Βουπάλειον ἐς στύγος,
μή πως ἐγείρῃς σφῆκα τὸν κοιμώμενον,
5 ὃς οὐδ' ἐν Ἅιδῃ νῦν κεκοίμικεν χόλον,
σκάζουσι μέτροις ὀρθὰ τοξεύσας ἔπη. (cfr. epigr. 65 et 72.)

4. [Ib. VII 554.]

Λατύπος Ἀρχιτέλης Ἀγαθάνορι παιδὶ θανόντι 112
χερσὶν ὀϊζυραῖς ἡρμολόγησε τάφον,
αἰαῖ, πέτρον ἐκεῖνον, ὃν οὐκ ἐκόλαψε σίδηρος,
ἀλλ' ἐτάκη πυκινοῖς δάκρυσι τεγγόμενος.
5 φεῦ, στήλη φθιμένῳ κούφη μένε, κεῖνος ἵν' εἴπῃ·
Ὄντως πατρῴη χεὶρ ἐπέθηκε λίθον.

5. [Anth. Plan. 93.]

Ὤλεσα τὸν Νεμέας θῆρ' ἄπλετον, ὤλεσα δ' ὕδρην 113
καὶ ταῦρον, κάπρου δ' ἀμφετίναξα γένυν·
ζωστῆρ' ἑλκύσσας, πώλους Διομήδεος εἷλον·
χρύσεα μᾶλα κλάσας, Γηρυόνην ἔλαβον·
5 Αὐγείας μ' ἐδάη· κεμὰς οὐ φύγεν· ἔκτανον ὄρνις·
Κέρβερον ἠγαγόμην. αὐτὸς Ὄλυμπον ἔχω.

6. [Ib. 141.]

Κολχίδα, τὴν ἐπὶ παισὶν ἀλάστορα, τρανὲ χελιδών, 114
πῶς ἔτλης τεκέων μαῖαν ἔχειν ἰδίων;
ἧς ἔτι κανθὸς ὕφαιμος ἀπαστράπτει φόνιον πῦρ,
καὶ πολιὸς γενύων ἀφρὸς ἄπο σταλάει·
5 ἀρτιβρεχὴς δὲ σίδηρος ἐφ' αἵματι. φεῦγε παναθλη
μητέρα, κἂν κηρῷ τεκνοφονοῦσαν ἔτι. (cfr. epigr. 104.)

Digitized by Google

XXXI. Lucianus

Samosatensis, sophista, natus est circ. a. 130 p. Chr.

1. [Anth. Pal. VII 308.]

Παῖδά με πενταέτηρον, ἀκηδέα θυμὸν ἔχοντα, 115
νηλειὴς Ἀΐδης ἥρπασε Καλλίμαχον.
ἀλλά με μὴ κλαίοις· καὶ γὰρ βιότοιο μετέσχον
παύρου καὶ παύρων τῶν βιότοιο κακῶν.

2. [Ib. IX 120.]

Φαῦλος ἀνὴρ πίθος ἐστὶ τετρημένος, εἰς ὃν ἁπάσας 116
ἀντλῶν τὰς χάριτας εἰς κενὸν ἐξέχεας.

3. [Ib. X 26.]

Ὡς τεθνηξόμενος τῶν σῶν ἀγαθῶν ἀπόλαυε, 117
ὡς δέ βιωσόμενος φείδεο σῶν κτεάνων.
ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας
φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.

4. [Ib. X 28.]

Τοῖσι μὲν εὖ πράττουσιν ἅπας ὁ βίος βραχύς ἐστιν, 118
τοῖς δὲ κακῶς μία νὺξ ἄπλετός ἐστι χρόνος.

5. [Ib. X 37.]

Ἡ βραδύπους βουλὴ μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα 119
αἰὲν ἐφελκομένη τὴν μετάνοιαν ἔχει.

6. [Ib. X 41.]

Πλοῦτος ὁ τῆς ψυχῆς πλοῦτος μόνος ἐστὶν ἀληθής, 120
τἆλλα δ' ἔχει λύπην πλείονα τῶν κτεάνων.
τὸν δὲ πολυκτέανον καὶ πλούσιόν ἐστι δίκαιον
κλῄζειν, ὃς χρῆσθαι τοῖς ἀγαθοῖς δύναται·

Digitized by Google

εἰ δέ τις ἐν ψήφοις κατατήκεται, ἄλλον ἐπ' ἄλλῳ
σωρεύειν αἰεὶ πλοῦτον ἐπειγόμενος,
οὗτος ὁποῖα μέλισσα πολυτρήτοις ἐνὶ σίμβλοις
μοχθήσει, ἑτέρων δρεπτομένων τὸ μέλι.

7. [Anth. Pal. X 42.]

Ἀρρήτων ἐπέων γλώσσῃ σφραγὶς ἐπικείσθω· 121
κρείσσων γὰρ μύθων ἢ κτεάνων φυλακή.

8. [Ib. XI 401.]

Ἰητήρ τις ἐμοὶ τὸν ἑὸν φίλον υἱὸν ἔπεμψεν, 122
ὥστε μαθεῖν παρ' ἐμοὶ ταῦτα τὰ γραμματικά.
ὡς δὲ τὸ Μῆνιν ἄειδε καὶ ἄλγεα μυρί' ἔθηκεν
ἔγνω καὶ τὸ τρίτον τοῖσδ' ἀκόλουθον ἔπος,
πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν —
οὐκέτι μιν πέμπει πρός με μαθησόμενον.
ἀλλά μ' ἰδὼν ὁ πατήρ „Σοὶ μὲν χάρις" εἶπεν „ἑταῖρε·
αὐτὰρ ὁ παῖς παρ' ἐμοὶ ταῦτα μαθεῖν δύναται·
καὶ γὰρ ἐγὼ πολλὰς ψυχὰς Ἄϊδι προϊάπτω
καὶ πρὸς τοῦτ' οὐδὲν γραμματικοῦ δέομαι."

9. [Ib. XI 408.]

Τὴν κεφαλὴν βάπτεις, τὸ δὲ γῆρας ἄρ' οὔποτε βάψεις 123
οὐδὲ παρειάων ἐκτανύσεις ῥυτίδας.
μὴ τοίνυν τὸ πρόσωπον ἅπαν ψιμύθῳ κατάπλαττε,
ὥστε προσωπεῖον κοὐχὶ πρόσωπον ἔχειν.
οὐδὲν γὰρ πλέον ἐστί· τί μαίνεαι; οὔποτε φῦκος
καὶ ψίμυθος τεύξει τὴν Ἑκάβην Ἑλένην.

10. [*Εἰς τὴν ἑαυτοῦ βίβλον.*]

Λουκιανὸς τάδ' ἔγραψα, παλαιά τε μωρά τε εἰδώς, 124
μωρὰ γὰρ ἀνθρώποις καὶ τὰ δοκοῦντα σοφά.

Digitized by Google

οὐδὲν ἐν ἀνθρώποισι διακριδόν ἐστι νόημα·
ἀλλ' ὃ σὺ θαυμάζεις, τοῦθ' ἑτέροισι γέλως.

XXXII. Palladas

Alexandrinus vixit exitu quarti et initio quinti p. Chr. saeculi.

1. [Anth. Pal. X 51.]

Ὁ φθόνος οἰκτιρμοῦ κατὰ Πίνδαρόν ἐστιν ἀμείνων, 125
οἱ βασκαινόμενοι λαμπρὸν ἔχουσι βίον,
τοὺς δὲ λίαν ἀτυχεῖς οἰκτείρομεν. ἀλλά τις εἴην
μήτ' ἄγαν εὐδαίμων μήτ' ἐλεεινὸς ἐγώ.
5 *ἡ μεσότης γὰρ ἄριστον, ἐπεὶ τὰ μὲν ἄκρα πέφυκεν*
κινδύνους ἐπάγειν, ἔσχατα δ' ὕβριν ἔχει.
(Cfr. Pind. P. I 85.)

2. [Ib. X 58.]

Γῆς ἐπέβην γυμνός, γυμνὸς δ' ὑπὸ γαῖαν ἄπειμι· 126
καὶ τί μάτην μοχθῶ γυμνὸν ὁρῶν τὸ τέλος;

3. [Ib. X 65.]

Πλοῦς σφαλερὸς τὸ ζῆν· χειμαζόμενοι γὰρ ἐν αὐτῷ 127
πολλάκι ναυηγῶν πταίομεν οἰκτρότερα·
τὴν δὲ τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
ὡς ἐπὶ τοῦ πελάγους, ἀμφίβολοι πλέομεν,
5 *οἱ μὲν ἐπ' εὐπλοΐην, οἱ δ' ἔμπαλιν· ἀλλ' ἅμα πάντες*
εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.

XXXIII. Iulianus,

praefectu Aegypti, floruit saeculo VI p. Chr. imperante Iustiniano.

1. [Anth. Pal. VII 58.]

Εἰ καὶ ἀμειδήτων νεκύων ὑπὸ γαῖαν ἀνάσσεις, 128
Φερσεφόνη, ψυχὴν δέχνυσο Δημοκρίτου

Digitized by Google

εὐμενέως γελόωσαν, ἐπεὶ καὶ σεῖο τεκοῦσαν
ἀχνυμένην ἐπὶ σοὶ μοῦνος ἔκαμψε γέλως.

2. [Anth. Pal. VII 69.]

Κέρβερε, δειμαλέην ὑλακὴν νεκύεσσιν ἰάλλων, 129
ἤδη φρικαλέον δείδιθι καὶ σὺ νέκυν·
Ἀρχίλοχος τέθνηκε. φυλάσσεο θυμὸν ἰάμβων
δριμύν, πικροχόλου τικτόμενον στόματος.
5 οἶσθα βοῆς κείνοιο μέγα σθένος, εὖτε Λυκάμβεω
νηῦς μία σοὶ δισσὰς ἤγαγε θυγατέρας.

3. [Anth. Plan. 108.]

Ἴκαρε, χαλκὸς ἐὼν μιμνήσκεο, μηδέ σε τέχνη 130
μηδ' ἀπάφῃ πτερύγων ζεῦγος ἐπωμάδιον.
εἰ γὰρ ζωὸς ἐὼν πέσες ἐν πελάγεσσι θαλάσσης,
πῶς ἐθέλεις πτῆναι χάλκεον εἶδος ἔχων;

XXXIV. Paulus Silentiarius

nobilissimus sexti p. Chr. saeculi epigrammatista.

1. [Anth. Pal. V 288.]

Ἐξότε μοι πίνοντι συνεψιάουσα Χαρικλώ 131
λάθρῃ τοὺς ἰδίους ἀμφέβαλε στεφάνους,
πῦρ ὀλοὸν δάπτει με· τὸ γὰρ στέφος, ὡς δοκέω, τι
εἶχεν, ὃ καὶ Γλαύκην φλέξε Κρεοντιάδα.

2. [Ib. VI 81.]

Ἀσπίδα ταυρείην, ἔρυμα χροός, ἀντιβίων τε 132
πολλάκις ἐγχείην γευσαμένην χολάδων
καὶ τὸν ἀλεξιβέλεμνον ἀπὸ στέρνοιο χιτῶνα
καὶ κόρυν ἱππείαις θριξὶ δασυνομένην

Digitized by Google

5 ἄνθετο Λυσίμαχος γέρας Ἄρεϊ, γηραλέον νῦν
ἀντὶ πανοπλίης βάκτρον ἀμειψάμενος.

3. [Anth. Plan. 118.]

Μηδοφόνους μὲν χεῖρας ὑπὲρ γαμψοῖο κορύμβου 133
ναὸς ἀπορνυμένης ἐξέταμον κοπίδες,
ἀνίκα που, Κυνέγειρε, φυγάς ποτε φορτὶς ἐκείνα
ὥσπερ ἀπ' εὐναίας εἴχετο σᾶς παλάμας.
5 ἀλλὰ καὶ ὥς, ἀπρὶξ δόρυ νηΐον ἀμφιδακοῦσαι,
ἄπνοον ὠμάρτευν τάρβος Ἀχαιμενίοις.
καὶ τὰς μέν τις ἀνὴρ ἕλε βάρβαρος, ἁ δέ γε χειρῶν
νίκα Μοψοπίοις μίμνε παρ' ἐνναέταις. (cfr. epigr. 100.)

XXXV. Agathias

Myrinae, Aeoliae urbe, natus floruit sub Iustiniano. Recentiorum maximeque aequalium poetarum epigrammata Meleagri Philippique exemplum imitatus in syllogam redegit, quam *Κύκλου* nomine distinxit.

1. [Anth. Pal. VII 551.]

Λητόϊος καὶ Παῦλος ἀδελφεὼ ἄμφω ἐόντε 134
ξυνὴν μὲν βιότου συζυγίην ἐχέτην,
ξυνὰ δὲ καὶ μοίρης λαχέτην λίνα, καὶ παρὰ θῖνα
Βοσπορίην ξυνὴν ἀμφεβάλοντο κόνιν.
5 οὐδὲ γὰρ ἀλλήλοιν ζώειν ἀπάνευθε δυνάσθην,
ἀλλὰ συνετρεχέτην καὶ παρὰ Φερσεφόνην.
χαίρετον, ὦ γλυκερὼ καὶ ὁμόφρονε· σήματι δ' ὑμέων
ὤφελεν ἱδρῦσθαι βωμὸς Ὁμοφροσύνης.

2. [Ib. IX 204.]

Μή με τὸν Αἰάντειον ἀνοχμάσσειας, ὁδῖτα, 135
πέτρον, ἀκοντιστὴν στήθεος Ἑκτορέου·

Digitized by Google

εἰμὶ μέλας τρηχύς τε. σὺ δ' εἴρεο θεῖον Ὅμηρον,
πῶς τὸν Πριαμίδην ἐξεκύλισα πέδῳ.
5 νῦν δὲ μόλις βαιόν με παροχλίζουσιν ἀρούρης
ἄνθρωποι, γενεῆς αἴσχεα λευγαλέης.
ἀλλά μέ τις κρύψειεν ὑπὸ χθονός· αἰδέομαι γάρ
παίγνιον οὐτιδανοῖς ἀνδράσι γινόμενος. (cfr. H 368.)

3. [Anth. Pal. XI 365.]

Καλλιγένης ἀγροῖκος, ὅτε σπόρον ἔμβαλε γαίῃ, 136
οἶκον Ἀριστοφάνους ἦλθεν ἐς ἀστρολόγου,
ἤτεε δ' ἐξερέειν, εἴπερ θέρος αἴσιον αὐτῷ
ἔσται καὶ σταχύων ἄφθονος εὐπορίη.
5 ὃς δὲ λαβὼν ψηφῖδας ὑπὲρ πίνακός τε πυκάζων
δάκτυλά τε γνάμπτων φθέγξατο Καλλιγένει·
Εἴπερ ἐπομβρηθῇ τὸ ἀρούριον ὅσσον ἀπόχρῃ,
μηδέ τιν' ὑλαίην τέξεται ἀνθοσύνην,
μηδὲ πάγος ῥήξῃ τὴν αὔλακα, μηδὲ χαλάζῃ
10 ἄκρον ἀποδρυφθῇ δράγματος ὀρνυμένου,
μηδὲ κεμὰς κείρῃσι τὰ λήϊα, μηδέ τιν' ἄλλην
ἠέρος ἢ γαίης ὄψεται ἀμπλακίην,
ἐσθλόν σοι τὸ θέρος μαντεύομαι, εὖ δ' ἀποκόψεις
τοὺς στάχυας — μούνας δείδιθι τὰς ἀκρίδας.

ΑΔΕΣΠΟΤΑ.

1. [Anth. Pal. VII 2.]

Εἰ καὶ βαιὸς ὁ τύμβος, ὁδοιπόρε, μή με παρέλθῃς, 137
ἀλλὰ καταστέψας ἴσα θεοῖσι σέβου·
τὸν γὰρ Πιερίδεσσι τετιμένον ἔξοχα Μούσαις
ποιητὴν ἐπέων θεῖον Ὅμηρον ἔχω.

Digitized by Google

2. [Anth. Pal. VII 44.]

Εἰ καὶ δακρυόεις, Εὐριπίδη, εἶλέ σε πότμος, 138
καί σε λυκορραῖσται δεῖπνον ἔθεντο κύνες,
τὸν σκηνῇ μελίγηρυν ἀηδόνα, κόσμον Ἀθηνῶν,
τὸν σοφίῃ Μουσέων μιξάμενον χάριτα,
5 *ἀλλ' ἔμολες Πελλαῖον ὑπ' ἠρίον, ὡς ἂν ὁ λάτρις*
Πιερίδων ναίῃς ἀγχόθι Πιερίδων.

3. [Ib. VII 62.]

α. Αἰετέ, τίπτε βέβηκας ὑπὲρ τάφον, ἢ τίνος, εἰπέ, 139
ἀστερόεντα θεῶν οἶκον ἀποσκοπέεις;
β. Ψυχῆς εἰμι Πλάτωνος ἀποπταμένης ἐς Ὄλυμπον
εἰκών, σῶμα δὲ γῆ γηγενὲς Ἀτθὶς ἔχει.

4. [Ib. VII 152.]

Πικρὴν ἀλλήλοις Ἕκτωρ χάριν ἠδὲ φέρασπις 140
Αἴας ἐκ πολέμου μνῆμ' ἔπορον φιλίης·
Ἕκτωρ γὰρ ζωστῆρα λαβὼν ξίφος ἔμπαλι δῶκε,
τὴν δὲ χάριν δώρων πείρασαν ἐν θανάτῳ·
5 *τὸ ξίφος εἶλ' Αἴαντα μεμηνότα, καὶ πάλι ζωστὴρ*
εἵλκυσε Πριαμίδην δίφρια συρόμενον.
οὕτως ἐξ ἐχθρῶν αὐτοκτόνα πέμπετο δῶρα,
ἐν χάριτος προφάσει μοῖραν ἔχοντα μόρου.
(Cf. Soph. Ai. 1027—1035 et ib. 665.)

5. [Anth. Pal. IX 115.]

Ἀσπίδ' Ἀχιλλῆος, τὴν Ἕκτορος αἷμα πιοῦσαν, 141
Λαρτιάδης Δαναῶν ἦρε κακοκρισίῃ·
ναυηγοῦ δὲ θάλασσα κατέσπασε καὶ παρὰ τύμβον
Αἴαντος νηκτὴν ὥρμισεν, οὐκ Ἰθάκῃ.
5 *καὶ κρίσιν Ἑλλήνων στυγερὴν ἀπέδειξε θάλασσα,*
καὶ Σαλαμὶς ἀπέχει κῦδος ὀφειλόμενον.

Digitized by Google

6. [Anth. Pal. IX 148.]

Τὸν βίον, Ἡράκλειτε, πολὺ πλέον ἤ περ ὅτ' ἔζης 142
δάκρυε, νῦν ὁ βίος ἔστ' ἐλεεινότερος·
τὸν βίον ἄρτι γέλα, Δημόκριτε, τὸ πλέον ἢ πρίν,
νῦν ὁ βίος πάντων ἐστὶ γελοιότερος.
5 εἰς ὑμέας δὲ καὶ αὐτὸς ὁρῶν τὸ μεταξὺ μεριμνῶ,
πῶς ἅμα σοὶ κλαύσω, πῶς ἅμα σοὶ γελάσω.

7. [Ib. IX 187.]

Αὐταί σοι στομάτεσσιν ἀνηρείψαντο μέλισσαι 143
ποικίλα Μουσάων ἄνθεα δρεψάμεναι·
αὐταὶ καὶ Χάριτές σοι δωρήσαντο, Μένανδρε,
στωμύλον εὐτυχίην δράμασιν ἐνθέμεναι.
5 ζώεις εἰς αἰῶνα· τὸ δὲ κλέος ἐστὶν Ἀθήναις
ἐκ σέθεν οὐρανίων ἁπτόμενον νεφέων.

8. [Ib. IX 160.]

Ἡρόδοτος Μούσας ὑπεδέξατο· τῷ δ' ἄρ' ἑκάστη 144
ἀντὶ φιλοξενίης βίβλον ἔδωκε μίαν.

9. [Ib. IX 571.]

Ἔκλαγεν ἐκ Θηβῶν μέγα Πίνδαρος· ἔπνεε τερπνά 145
ἡδυμελεῖ φθόγγῳ μοῦσα Σιμωνίδεω·
λάμπει Στησίχορός τε καὶ Ἴβυκος· ἦν γλυκὺς Ἀλκμάν·
λαρὰ δ' ἀπὸ στομάτων φθέγξατο Βακχυλίδης·
5 πειθὼ Ἀνακρείοντι συνέσπετο· ποικίλα δ' αὐδᾷ
Ἀλκαῖος * κώμῳ Λέσβιος Αἰολίδῃ.
ἀνδρῶν δ' οὐκ ἐνάτη Σαπφὼ πέλεν, ἀλλ' ἐρατειναῖς
ἐν Μούσαις δεκάτη Μοῦσα καταγράφεται.

Digitized by Google

10. [Anth. Pal. IX 647.]

Ῥώμη παμβασίλεια, τὸ σὸν κλέος οὔποτ' ὀλεῖται· 146
Νίκη γάρ σε φυγεῖν ἄπτερος οὐ δύναται.

11. [Ib. V 205.]

Ἴϋγξ ἡ Νικοῦς, ἡ καὶ διαπόντιον ἕλκειν 147
ἄνδρα καὶ ἐκ θαλάμων παῖδας ἐπισταμένη,
χρυσῷ ποικιλθεῖσα, διαυγέος ἐξ ἀμεθύστου
γλυπτή, σοὶ κεῖται, Κύπρι, φίλον κτέανον,
5 πορφυρέης ἀμνοῦ μαλακῇ τριχὶ μέσσα δεθεῖσα,
τῆς Λαρισαίης ξείνια φαρμακίδος.
(Cf. Theocr. Idyll. II, Verg. Ecl. VIII 64 seq.)

12. [Ib. XIV 71.]

Ἁγνισθεὶς τέμενος καθαρόν, ξένε, δαίμονος ἔρχου 148
ψυχήν, νυμφαίου νάματος ἁψάμενος.
ὡς ἀγαθοῖς κεῖται βαιὴ λιβάς· ἄνδρα δὲ φαῦλον
οὐδ' ἂν ὁ πᾶς νίψαι νάμασιν Ὠκεανός.

13. [Anth. Plan. 90.]

Θλῖβε δρακοντείους περιμήκεας, ὄβριμε, δειράς 149
Ἡρακλες, δακέτων ἄγχε βαθεῖς φάρυγας·
ἐξέτι νηπιάχοιο χόλον ζηλήμονος Ἥρης
ἄμπαυσον· μοχθεῖν γνῶθι καὶ ἐκ βρέφεος.
5 οὐ γάρ σοι κρητὴρ χαλκήλατος οὐδὲ λέβητες,
ἀλλ' ὁδὸς εἰς αὐλὴν Ζηνὸς ἔπαθλον ἔφυ.

14. [Ib. 129.]

Ἐκ ζωῆς με θεοὶ τεῦξαν λίθον· ἐκ δὲ λίθοιο 150
ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο.

Digitized by Google

15. [Anth. Plan. 223.]

Ἡ Νέμεσις προλέγει τῷ πήχεϊ τῷ τε χαλινῷ 151
μήτ' ἄμετρόν τι ποιεῖν μήτ' ἀχάλινα λέγειν.

16. [Anth. Pal. IX 366.]

Ἑπτὰ σοφῶν ἐρέω κατ' ἔπος πόλιν, οὔνομα, φωνήν. 152
Μέτρον μὲν Κλεόβουλος ὁ Λίνδιος εἶπεν ἄριστον·
Χίλων δ' ἐν κοίλῃ Λακεδαίμονι Γνῶθι σεαυτόν·
ὃς δὲ Κόρινθον ἔναιε, Χόλου κρατέειν, Περίανδρος·
5 Πιττακὸς Οὐδὲν ἄγαν, ὃς ἔην γένος ἐκ Μυτιλήνης·
Τέρμα δ' ὁρᾶν βιότοιο Σόλων ἱεραῖς ἐν Ἀθήναις·
Τοὺς πλέονας κακίους δὲ Βίας ἀπέφηνε Πριηνεύς·
Ἐγγύην φεύγειν δὲ Θαλῆς Μιλήσιος ηὔδα.

Digitized by Google

Iambographi.

I. Archilochus.

Ἀρχίλοχος Telesiclis filius Parius exeunte octavo ineunte septimo a. Chr. n. saeculo floruisse traditur, quo tempore Gyges Lydorum regnum tenebat, cfr. Herod. I 12: *τοῦ* (scil. *Γύγου*) *καὶ Ἀρχίλοχος ὁ Πάριος κατὰ τὸν αὐτὸν χρόνον γενόμενος ἐν ἰάμβῳ τριμέτρῳ ἐπεμνήσθη*, vide infra fr. 11. In insulam Thasum cum a Pariis colonia deduceretur, poeta et ipse solum vertit bellisque intererat, quae Thasii cum finitimis Thracibus parum prospere (cfr. fr. 5) gesserunt. Postea, cum iam Thasiarum rerum eum taedere coepisset (cfr. fr. 10), in patriam reversus Lycambae eiusque filiae Neobules infidelitatem cum ira atque dolore est expertus (cfr. fr. 26, 27). Qua iniuria exacerbatus *socerum*, ut ait Horatius (Epist. I 19, 30 seq.), *versibus oblinit atris* atque *sponsae laqueum famoso carmine nectit* (cfr. epigr. 129). Cecidisse eum narrant in acie interfectum ab Calonda Naxio, quem Pythia tamquam piaculo contaminatum hisce compellasse fertur: *Μουσάων θεράποντα κατέκτανες, ἔξιθι νηοῦ* (cfr. fr. 1). — Composuit Archilochus elegos, epigrammata (v. supra p. 102), hymnos, epodos. Plurimum autem ad metra Graecorum excolenda atque amplificanda contulisse censendus est, quoniam cum nemo ante eum poeta iambicos aut trochaicos versus protulisset, ille princeps his numeris carmina condidit (senarios atque tetrametros trochaicos) idemque diversa rhythmorum genera (*γένος ἴσον* sive *δακτυλικόν* et *γένος διπλάσιον* vel *ἰαμβικόν*) in unum coniungere instituit.

Digitized by Google

ΕΛΕΓΕΙΑ.

1. [1.]

Εἰμὶ δ' ἐγὼ θεράπων μὲν Ἐνυαλίοιο ἄνακτος,
καὶ Μουσέων ἐρατὸν δῶρον ἐπιστάμενος.

2. [2.]

Ἐν δορὶ μέν μοι μᾶζα μεμαγμένη, ἐν δορὶ δ' οἶνος
Ἰσμαρικός, πίνω δ' ἐν δορὶ κεκλιμένος.

3. [3.]

Οὔ τοι πόλλ' ἐπὶ τόξα τανύσσεται οὐδὲ θαμειαί
σφενδόναι, εὖτ' ἂν δὴ μῶλον Ἄρης συνάγῃ
ἐν πεδίῳ· ξιφέων δὲ πολύστονον ἔσσεται ἔργον·
ταύτης γὰρ κεῖνοι δαίμονές εἰσι μάχης
δεσπόται Εὐβοίης δουρικλυτοί. 5

4. [4.]

Ἀλλ' ἄγε σὺν κώθωνι θοῆς διὰ σέλματα νηός
φοίτα καὶ κοίλων πώματ' ἄφελκε κάδων,
ἄγρει δ' οἶνον ἐρυθρὸν ἀπὸ τρυγός· οὐδὲ γὰρ ἡμεῖς
νήφειν ἐν φυλακῇ τῇδε δυνησόμεθα.

5. [6.]

Ἀσπίδι μὲν Σαΐων τις ἀγάλλεται, ἣν παρὰ θάμνῳ
ἔντος ἀμώμητον κάλλιπον οὐκ ἐθέλων·
αὐτὸς δ' ἐξέφυγον θανάτου τέλος. ἀσπὶς ἐκείνη
ἐρρέτω· ἐξαῦτις κτήσομαι οὐ κακίω.

ΠΡΟΣ ΠΕΡΙΚΛΕΑ.

6. [9.]

Κήδεα μὲν στονόεντα, Περίκλεες, οὐδέ τις ἀστῶν
μεμφόμενος θαλίης τέρψεται οὐδὲ πόλις·

Digitized by Google

τοίους γὰρ κατὰ κῦμα πολυφλοίσβοιο θαλάσσης
ἔκλυσεν, οἰδαλέους δ' ἀμφ' ὀδύνῃς ἔχομεν
πνεύμονας. ἀλλὰ θεοὶ γὰρ ἀνηκέστοισι κακοῖσιν, 5
ὦ φίλ', ἐπὶ κρατερὴν τλημοσύνην ἔθεσαν
φάρμακον· ἄλλοτε δ' ἄλλος ἔχει τόδε· νῦν μὲν ἐς ἡμέας
ἐτράπεθ', αἱματόεν δ' ἕλκος ἀναστένομεν,
ἐξαῦτις δ' ἑτέρους ἐπαμείψεται· ἀλλὰ τάχιστα
τλῆτε γυναικεῖον πένθος ἀπωσάμενοι. 10

7. [13.]

Οὔτε τι γὰρ κλαίων ἰήσομαι οὔτε κάκιον
θήσω τερπωλὰς καὶ θαλίας ἐφέπων.

8. [15.]

Πάντα πόνος τεύχει θνητοῖς μελέτη τε βροτείη.

9. [16.]

Πάντα τύχη καὶ μοῖρα, Περίκλεες, ἀνδρὶ δίδωσιν.

Trimetri iambici.

10. [21.]

Ἥδε δ' ὥστ' ὄνου ῥάχις
ἕστηκεν ὕλης ἀγρίης ἐπιστεφής·
οὐ γάρ τι καλὸς χῶρος οὐδ' ἐφίμερος
οὐδ' ἐρατός, οἷος ἀμφὶ Σίριος ῥοάς.

11. [25.]

Οὔ μοι τὰ Γύγεω τοῦ πολυχρύσου μέλει,
οὐδ' εἶλέ πώ με ζῆλος, οὐδ' ἀγαίομαι
θεῶν ἔργα, μεγάλης δ' οὐκ ἐρέω τυραννίδος·
ἀπόπροθεν γάρ ἐστιν ὀφθαλμῶν ἐμῶν.

(Cfr. Anacreonteum 2 huius exempli.)

Digitized by Google

12. [27.]

Ἄναξ Ἄπολλον, καὶ σὺ τοὺς μὲν αἰτίους
σήμαινε καί σφεας ὄλλυ' ὥσπερ ὀλλύεις.

Tetrametri trochaici.

13. [56.]

Τοῖς θεοῖς τιθεῖν ἅπαντα· πολλάκις μὲν ἐκ κακῶν
ἄνδρας ὀρθοῦσιν μελαίνῃ κειμένους ἐπὶ χθονί,
πολλάκις δ' ἀνατρέπουσι καὶ μάλ' εὖ βεβηκότας
ὑπτίους κλίνουσ'· ἔπειτα πολλὰ γίγνεται κακά,
* καὶ βίου χρήμῃ πλανᾶται καὶ νόου παρήορος. 5

14. [58.]

Οὐ φιλέω μέγαν στρατηγὸν οὐδὲ διαπεπλιγμένον,
οὐδὲ βοστρύχοισι γαῦρον οὐδ' ὑπεξυρημένον,
ἀλλά μοι σμικρός τις εἴη καὶ περὶ κνήμας ἰδεῖν
ῥοικός, ἀσφαλέως βεβηκὼς ποσσί, καρδίης πλέος.

15. [59.]

Ἑπτὰ γὰρ νεκρῶν πεσόντων, οὓς ἐμάρψαμεν ποσίν,
χίλιοι φονῆές ἐσμεν.

16. [64.]

Οὐ γὰρ ἐσθλὰ κατθανοῦσι κερτομέειν ἐπ' ἀνδράσιν.

17. [65.]

Ἓν δ' ἐπίσταμαι μέγα,
τὸν κακῶς με δρῶντα δεινοῖς ἀνταμείβεσθαι κακοῖς.

18. [66.]

Θυμέ, θύμ' ἀμηχάνοισι κήδεσιν κυκώμενε,
* ἄνεχε, δυσμενῶν δ' ἀλέξευ προσβαλὼν ἐναντίον

Digitized by Google

στέρνον, † ἐν δοκοῖσιν ἐχθρῶν πλησίον κατασταθείς
ἀσφαλέως· καὶ μήτε νικῶν ἀμφάδην ἀγάλλεο,
μήτε νικηθεὶς ἐν οἴκῳ καταπεσὼν ὀδύρεο· 5
ἀλλὰ χαρτοῖσίν τε χαῖρε καὶ κακοῖσιν ἀσχάλα
μὴ λίην· γίγνωσκε δ' οἷος ῥυσμὸς ἀνθρώπους ἔχει.

19. [70.]

Τοῖος ἀνθρώποισι θυμός, Γλαῦκε, Λεπτίνεω πάϊ,
γίγνεται θνητοῖς, ὁκοίην Ζεὺς ἐπ' ἡμέρην ἄγῃ,
καὶ φρονεῦσι τοῖ', ὁκοίοις ἐγκυρέωσιν ἔργμασιν. (cf. σ 136.)

20. [74.]

Χρημάτων ἄελπτον οὐδέν ἐστιν οὐδ' ἀπώμοτον
οὐδὲ θαυμάσιον, ἐπειδὴ Ζεὺς πατὴρ Ὀλυμπίων
ἐκ μεσημβρίης ἔθηκε νύκτ' ἀποκρύψας φάος
ἡλίου λάμποντος· * ὠχρὸν δ' ἦλθ' ἐπ' ἀνθρώπους δέος.
ἐκ δὲ τοῦ καὶ πιστὰ πάντα κἀπίελπτα γίγνεται 5
ἀνδράσιν· μηδεὶς ἔθ' ὑμῶν εἰσορῶν θαυμαζέτω,
μηδ' ὅταν δελφῖσι θῆρες ἀνταμείψωνται νομόν
ἐνάλιον καί σφιν θαλάσσης ἠχέεντα κύματα
φίλτερ' ἠπείρου γένηται, τοῖσι δ' ἥδιον δρίος.

21. [77.]

Ὡς Διωνύσοι' ἄνακτος καλὸν ἐξάρξαι μέλος
οἶδα διθύραμβον, οἴνῳ συγκεραυνωθεὶς φρένας.

ΕΠΩΙΔΟΙ.

22. [86.]

Brevior versus est dimeter iambicus, longior trimeter iambicus.
Idem metrum occurrit fr. 23, 24, 26, 27.

Αἶνός τις ἀνθρώπων ὅδε,
ὡς ἄρ' ἀλώπηξ καίετὸς ξυνωνίην
ἔμιξαν.

Digitized by Google

23. [87.]

Ὁρᾷς, ἵν' ἔστ' ἐκεῖνος ὑψηλὸς πάγος
τρηχύς τε καὶ παλίγκοτος,
ἐν τῷ κάθημαι σὴν ἐλαφρίζων μάχην.

24. [88.]

Ὦ Ζεῦ, πάτερ Ζεῦ, σὸν μὲν οὐρανοῦ κράτος,
σὺ δ' ἔργ' ἐπ' ἀνθρώπων ὁρᾷς
λεωργὰ καὶ θεμιστά, σοὶ δὲ θηρίων
ὕβρις τε καὶ δίκη μέλει.

25. [89.]

Trimetrum iambicum sequitur trimeter dactylic. catalecticus.

Ἐρέω τιν' ὑμῖν αἶνον, ὦ Κηρυκίδη·
ἀχνυμένη σκυτάλη·
πίθηκος ᾔει θηρίων ἀποκριθείς
μοῦνος ἀν' ἐσχατιήν·
τῷ δ' ἄρ' ἀλώπηξ κερδαλέη συνήντετο, 5
πυκνὸν ἔχουσα νόον.

26. [94.]

Πάτερ Λυκάμβα, ποῖον ἐφράσω τόδε;
τίς σὰς παρήειρε φρένας;
ἧς τὸ πρὶν ἠρήρεισθα· νῦν δὲ δὴ πολύς
ἀστοῖσι φαίνεαι γέλως.

27. [96.]

Ὅρκον δ' ἐνοσφίσθης μέγαν
ἅλας τε καὶ τράπεζαν.

Digitized by Google

II. Simonides Amorginus.

Σιμωνίδης Κρίνεω, Ἀμοργῖνος, iambographus aetate paulo inferior quam Archilochus septimo saeculo a. Chr. n. floruisse traditur. Is, cum Samii insulam Amorgum coloniis occupare statuissent, transmigrantibus civibus sese adiunxit consedit-que Minoae in urbe Amorgina. Inde poeta genere Samius Amorgini cognomen duxit. Scripsit elegos (*Ἀρχαιολογίαν τῶν Σαμίων*) iambosque; ex his haud ignobile carmen superest, quo similiter atque Phocylides (cfr. Phocyl. 2), sed Milesio uberius varia mulierum ingenia descripsit.

Χωρὶς γυναικὸς θεὸς ἐποίησεν νόον
τὰ πρῶτα· τὴν μὲν ἐξ ὑὸς τανύτριχος,
τῇ πάντ' ἀν' οἶκον βορβόρῳ πεφυρμένα,
ἄκοσμα κεῖται καὶ κυλινδεῖται χαμαί·
αὐτὴ δ' ἄλουτος ἀπλύτοις τ' ἐν εἵμασιν 5
ἐν κοπρίῃσιν ἡμένη πιαίνεται.
Τὴν δ' ἐξ ἀλιτρῆς θεὸς ἔθηκ' ἀλώπεκος
γυναῖκα, πάντων ἶδριν· οὐδέ μιν κακῶν
λέληθεν οὐδὲν οὐδὲ τῶν ἀμεινόνων.
τὸ μὲν γὰρ † αὐτῶν εἶπε πολλάκις κακόν, 10
τὸ δ' ἐσθλόν· ὀργὴν δ' ἄλλοτ' ἀλλοίην ἔχει.
Τὴν δ' ἐκ κυνὸς λίταργον † αὐτομήτορα,
ἣ πάντ' ἀκοῦσαι, πάντα δ' εἰδέναι θέλει,
πάντῃ δὲ παπταίνουσα καὶ πλανωμένη
λέληκεν, ἢν καὶ μηδέν' ἀνθρώπων ὁρᾷ. 15
παύσειε δ' ἄν μιν οὔτ' ἀπειλήσας ἀνήρ,
οὐδ' εἰ χολωθεὶς ἐξαράξειεν λίθῳ
ὀδόντας, οὔτ' ἂν μειλίχως μυθεύμενος,
οὐδ' εἰ παρὰ ξείνοισιν ἡμένη τύχοι·
ἀλλ' ἐμπεδῶς ἄπρηκτον αὐονὴν ἔχει. 20

Digitized by Google

Τὴν δὲ πλάσαντες γηΐνην Ὀλύμπιοι
ἔδωκαν ἀνδρὶ πηρόν· οὔτε γὰρ κακόν
οὔτ' ἐσθλὸν οὐδὲν οἶδε τοιαύτη γυνή·
ἔργον δὲ μοῦνον ἐσθίειν ἐπίσταται·
κοὐδ', ἢν κακὸν χειμῶνα ποιήσῃ θεός, 25
ῥιγῶσα δίφρον ἆσσον ἕλκεται πυρός.
Τὴν δ' ἐκ θαλάσσης, ἣ δύ' ἐν φρεσὶν νοεῖ.
τὴν μὲν γελᾷ τε καὶ γέγηθεν ἡμέρην,
ἐπαινέσει μιν ξεῖνος ἐν δόμοις ἰδών·
„Οὐκ ἔστιν ἄλλη τῆσδε λωΐων γυνή 30
ἐν πᾶσιν ἀνθρώποισιν οὐδὲ καλλίων."
τὴν δ' οὐκ ἀνεκτὸς οὔτ' ἐν ὀφθαλμοῖς ἰδεῖν
οὔτ' ἆσσον ἐλθεῖν, ἀλλὰ μαίνεται τότε
ἄπλητον, ὥσπερ ἀμφὶ τέκνοισιν κύων·
ἀμείλιχος δὲ πᾶσι κἀποθυμίῃ 35
ἐχθροῖσιν ἴσα καὶ φίλοισι γίγνεται,
ὥσπερ θάλασσα πολλάκις μὲν ἀτρεμής
ἔστηκ' ἀπήμων, χάρμα ναύτῃσιν μέγα,
θέρεος ἐν ὥρῃ, πολλάκις δὲ μαίνεται,
βαρυκτύποισι κύμασιν φορευμένη. 40
[ταύτῃ μάλιστ' ἔοικε τοιαύτη γυνή
ὀργήν· φυὴν δὲ πόντος ἀλλοίην ἔχει.]
Τὴν δ' ἐκ * πελιδνῆς καὶ παλιντριβέος ὄνου,
ἣ σύν τ' ἀνάγκῃ σύν τ' ἐνιπῇσιν μόγις
ἔστερξεν ὧν ἅπαντα καὶ πονήσατο. 45
ἡ δ' ἑφθά τ' ὀπτά τ' ἐσθίει μὲν ἐν μυχῷ
προνὺξ προῆμαρ, ἐσθίει δ' ἐπ' ἐσχάρῃ·
ὁμῶς δὲ καὶ πρὸς ἔργον ἀφροδίσιον
ἐλθόνθ' ἑταῖρον ὁντινῶν ἐδέξατο.
Τὴν δ' ἐκ γαλῆς, δύστηνον οἰζυρὸν γένος. 50

Digitized by Google

κείνῃ γὰρ οὔ τι καλὸν οὐδ' ἐπίμερον
πρόσεστιν οὐδὲ τερπνὸν οὐδ' ἐράσμιον·
εὐνῆς δ' * ἀληνής ἐστιν ἀφροδισίης,
τὸν δ' ἄνδρα τὸν παρόντα νωσίῃ διδοῖ.
κλέπτουσα δ' ἔρδει πολλὰ γείτονας κακά, 55
ἄθυστα δ' ἱρὰ πολλάκις κατεσθίει.
Τὴν δ' ἵππος ἁβρὴ χαιτέεσσ' ἐγείνατο,
ἣ δούλι' ἔργα καὶ δύην παρατρέπει·
κοὔτ' ἂν μύλης ψαύσειεν, οὔτε κόσκινον
ἄρειεν, οὔτε κόπρον ἐξ οἴκου βάλοι, 60
οὔτε πρὸς ἰπνόν, ἀσβόλην ἀλευμένη,
ἵζοιτ'. ἀνάγκῃ δ' ἄνδρα ποιεῖται φίλον.
λοῦται δὲ πάσης ἡμέρης ἄπο ῥύπου
δίς, ἄλλοτε τρίς, καὶ μύροις ἀλείφεται·
αἰεὶ δὲ χαίτην ἐκτενισμένην φορεῖ 65
βαθεῖαν, ἀνθέμοισιν ἐσκιασμένην.
καλὸν μὲν ὦν θέημα τοιαύτη γυνή
ἄλλοισι· τῷ δ' ἔχοντι γίγνεται κακόν,
ἢν μή τις ἢ τύραννος ἢ σκηπτοῦχος ᾖ,
ὅστις τοιούτοις θυμὸν ἀγλαΐζεται. 70
Τὴν δ' ἐκ πιθήκου· τοῦτο δὴ διακριδόν
Ζεὺς ἀνδράσιν μέγιστον ὤπασεν κακόν.
αἴσχιστα μὲν πρόσωπα· τοιαύτη γυνή
εἶσιν δι' ἄστεος πᾶσιν ἀνθρώποις γέλως·
ἐπ' αὐχένα βραχεῖα, κινεῖται μόγις, 75
ἄπυγος αὐτόκωλος· ἃ τάλας ἀνήρ,
ὅστις κακὸν τοιοῦτον ἀγκαλίζεται.
δήνεα δὲ πάντα καὶ τρόπους ἐπίσταται,
ὥσπερ πίθηκος, οὐδέ οἱ γέλως μέλει.
οὐδ' ἄν τιν' εὖ ἔρξειεν, ἀλλὰ τοῦθ' ὁρᾷ 80

Digitized by Google

καὶ τοῦτο πᾶσαν ἡμέρην βουλεύεται,
ὅκως τιν' ὡς μέγιστον ἔρξειεν κακόν.
Τὴν δ' ἐκ μελίσσης, τήν τις εὐτυχεῖ λαβών·
κείνῃ γὰρ οἴῃ μῶμος οὐ προσιζάνει·
θάλλει δ' ὑπ' αὐτῆς κἀπαέξεται βίος· 85
φίλη δὲ σὺν φιλεῦντι γηράσκει πόσει,
τεκοῦσα καλὸν κοὐνομάκλυτον γένος·
κἀριπρεπὴς μὲν ἐν γυναιξὶ γίγνεται
πάσῃσι, θείη δ' ἀμφιδέδρομεν χάρις·
οὐδ' ἐν γυναιξὶν ἥδεται καθημένη, 90
ὅκου λέγουσιν ἀφροδισίους λόγους.
τοίας γυναῖκας ἀνδράσιν χαρίζεται
Ζεὺς τὰς ἀρίστας καὶ πολυφραδεστάτας.
Τὰ δ' ἄλλα φῦλ' ἀτηρὰ μηχανῇ Διός
ἔστιν τε πάντα καὶ παρ' ἀνδράσιν μένει. 95
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακόν,
γυναῖκας· ἤν τι καὶ δοκῶσιν ὠφελεῖν,
ἔχοντί τοι μάλιστα γίγνεται κακόν.
οὐ γάρ κοτ' εὔφρων ἡμέρην διέρχεται
ἅπασαν, ὅστις σὺν γυναικὶ * γίγνεται· 100
οὐδ' αἶψα λιμὸν οἰκίης ἀπώσεται,
ἐχθρὸν συνοικητῆρα, δυσμενέα θεόν.
ἀνὴρ δ' ὅταν μάλιστα θυμηδεῖν δοκῇ
κατ' οἶκον ἢ θεοῦ μοῖραν ἢ ἀνθρώπου χάριν,
εὑροῦσα μῶμον ἐς μάχην κορύσσεται· 105
ὅκου γυνὴ γάρ ἐστιν, οὐδ' ἐς οἰκίην
ξεῖνον μολόντα προφρόνως δεχοίατο.
ἥτις δέ τοι μάλιστα σωφρονεῖν δοκεῖ,
αὕτη μέγιστα τυγχάνει λωβωμένη·
κεχηνότος γὰρ ἀνδρός — οἱ δὲ γείτονες 110

Digitized by Google

χαίρουσ' ὁρῶντες καὶ τόν, ὡς ἁμαρτάνει.
τὴν ἣν δ' ἕκαστος αἰνέσει μεμνημένος
γυναῖκα, τὴν δὲ τοὐτέρου μωμήσεται·
ἴσην δ' ἔχοντες μοῖραν οὐ γιγνώσκομεν.
Ζεὺς γὰρ μέγιστον τοῦτ' ἐποίησεν κακόν 115
καὶ δεσμὸν ἀμφέθηκεν ἄρρηκτον πέδης,
ἐξ οἵ τε τοὺς μὲν Ἅιδης ἐδέξατο
γυναικὸς εἵνεκ' ἀμφιδηριωμένους.

III. Babrius.

De aetate, de patria, de genere Babrii fabulatoris ambigitur, nisi quod ante tertium p. Chr. n. saeculum apologos edidisse censendus est, nec desunt in fabulis ipsis indicia, ex quibus poetam natione Syrum fuisse atque in Asia carmina condidisse suspicari licet. Aesopi fabulas versibus inclusit choliambicis (v. supra p. 117), in quibus pangendis praeter ceteras hanc legem diligenter secutus est, ut novissimi pedis prior syllaba sub ictu esset eademque sono proferretur, cavens ne perispomena, proparoxytona, oxytona in fine versus collocarentur. Apologorum sylloge, qualis servata est in codice Athoo, centum viginti tria continet poematia in ordinem ita redacta, ut singulorum carminum litterae primae ratio haberetur, atque in duas partes distributa, quarum altera initium capit ab littera *M*; utrique suum praemissum est prooemium. Poeta fabulas misisse videtur ad Branchum, Alexandri regis ignoti filium (cfr. fab. 13, 15).

ΜΥΘΙΑΜΒΟΙ ΑΙΣΩΠΕΙΟΙ

ΚΑΤΑ ΣΤΟΙΧΕΙΟΝ.

Στίχοι χωλιαμβικοί.

1. [1.]

(*ΤΟΞΟΤΗΣ ΚΑΙ ΛΕΩΝ.*)

Ἄνθρωπος ἦλθεν εἰς ὄρος κυνηγήσων,
τόξου βολῆς ἔμπειρος· ἦν δὲ τῶν ζῴων

Digitized by Google

φυγή τε πάντων καὶ φόβου δρόμος πλήρης.
λέων δὲ τοῦτον προὐκαλεῖτο θαρσήσας
αὐτῷ μάχεσθαι. „Μεῖνον“ εἶπε „μὴ σπεύσῃς“ 5
ἄνθρωπος αὐτῷ „μηδ' ἐπελπίσῃς νίκῃ·
τῷ δ' ἀγγέλῳ μου πρῶτον ἐντυχὼν γνώσῃ,
τί σοι ποιητόν ἐστιν.“ εἶτα τοξεύει,
μικρὸν διαστάς. χὠ μὲν οἰστὸς ἐκρύφθη
λέοντος ὑγραῖς χολάσιν· ὁ δὲ λέων δείσας 10
ὥρμησε φεύγειν ἐς νάπας ἐρημαίας.
τούτου δ' ἀλώπηξ οὐκ ἄπωθεν εἱστήκει.
ταύτης δὲ θαρσεῖν καὶ μένειν κελευούσης,
„Οὔ με πλανήσεις“ φησίν „οὐδ' ἐνεδρεύσεις·
ὅπου γὰρ οὕτω πικρὸν ἄγγελον πέμπει, 15
πῶς αὐτὸς ἤδη φοβερός ἐστι γινώσκω.“

Ὅτι δεῖ ἐκ τῶν προσφερομένων γινώσκειν τὴν ἑκάστου διάθεσιν, καὶ ὅτι ἡ σοφία τῆς δυνάμεως διαφέρει.

2. [11.]

(ΑΝΘΡΩΠΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

Ἀλώπεκ' ἐχθρὴν ἀμπέλων τε καὶ κήπων
ξένῃ θελήσας περιβαλεῖν τις αἰκίῃ,
τὴν κέρκον ἅψας καὶ λίνον τι προσδήσας,
ἀφῆκε φεύγειν. τὴν δ' ἐπίσκοπος δαίμων
ἐς τὰς ἀρούρας τοῦ βλαβόντος ὡδήγει 5
τὸ πῦρ φέρουσαν. ἦν δὲ ληΐων ὥρη
καὶ καλλίπαις ἄμητος ἐλπίδων πλήρης.
ὁ δ' ἠκολούθει τὸν πολὺν κόπον κλαίων·
οὐδ' εἶδεν αὐτοῦ τὴν ἅλωνα Δημήτηρ.
Χρὴ πρᾷον εἶναι μηδ' ἄμετρα θυμοῦσθαι. 10
ἔστιν τις ὀργῆς νέμεσις, ἣν φυλαττοίμην,
αὐτοῖς βλάβην φέρουσα τοῖς δυσοργήτοις.

Digitized by Google

3. [16.]

(ΛΥΚΟΣ ΚΑΙ ΓΡΑΥΣ.)

Ἀγροικος ἠπείλησε νηπίῳ τίτθη
κλαίοντι· „Παῦσαι, μή σε τῷ λύκῳ ῥίψω.“
ὁ λύκος δ' ἀκούσας τήν τε γραῦν ἀληθεύειν
νομίσας ἔμεινεν ὡς ἕτοιμα δειπνήσων,
ἕως ὁ παῖς μὲν ἐσπέρης ἐκοιμήθη, 5
αὐτὸς δὲ πεινῶν καὶ λύκος χανὼν ὄντως
ἀπῆλθε νωθραῖς ἐλπίσιν παρεδρεύσας.
λύκαινα δ' αὐτὸν ἡ σύνοικος ἠρώτα·
„Πῶς οὐδὲν ἄρας ἦλθες ὧνπερ εἰώθεις;“
ὁ δ' εἶπε· „Πῶς γάρ, ὃς γυναικὶ πιστεύω;“ 10

Διδάσκει ἡμᾶς ὁ μῦθος, ὅτι οὐ χρὴ πᾶσι πιστεύειν, γυναικὶ δὲ ἥκιστα, μεγάλα καὶ πάμπολλα ἐπαγγελλομένῃ. — Πρὸς τὸν κεναῖς ἀπειλαῖς ἐξαπατηθέντα.

4. [18.]

(ΒΟΡΕΑΣ ΚΑΙ ΗΛΙΟΣ.)

Βορέῃ λέγουσιν Ἡλίῳ τε τοιαύτην
ἔριν γενέσθαι, πότερος ἀνδρὸς ἀγροίκου
ὁδοιποροῦντος τὴν σίσυρναν ἐκδύσει.
Βορέης δ' ἐφύσα πρῶτος οἶος ἐκ Θρᾴκης,
βίᾳ νομίζων τὸν φοροῦντα συλήσειν· 5
ὁ δ' οὐ μεθῆκε μαλλόν, ἀλλὰ φιγώσας
καὶ πάντα κύκλῳ χερσὶ κράσπεδα σφίγξας
καθῆστο, πέτρης νῶτον ἐξοχῇ κλίνας.
ὁ δ' Ἥλιος τὸ πρῶτον ἡδὺς ἐκκύψας
ἀνῆκεν αὐτὸν τοῦ δυσηνέμου ψύχους· 10
ἔπειτα δ' αὖ προσῆγε τὴν ἀλέην πλείω,
καὶ καῦμα τὸν γεωργὸν εἶχεν ἐξαίφνης·

Digitized by Google

αὐτὸς δὲ ῥίψας τὴν † σισύραν ἐγυμνώθη.
Βορέης μὲν οὕτω συγκριθεὶς ἐνικήθη.
Λέγει δ' ὁ μῦθος· πρᾳότητα, παῖ, ζήλου· 15
ἀνύσεις τι πειθοῖ μᾶλλον ἢ βίᾳ ῥέζων.

Μῦθος παραινῶν, ὅτι οὐ χρὴ φιλόνεικον εἶναι, ἀλλὰ πραΰτητι καὶ πειθοῖ ἀνύειν τὰ ἀνήκοντα.

5. [19.]

(ΒΟΤΡΥΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

Βότρυς μελαίνης ἀμπέλου παρ' αἰώρῃ
ἀπεκρέμαντο· τοὺς δὲ ποικίλη πλήρεις
ἰδοῦσα κερδὼ πολλάκις μὲν ὡρμήθη,
πηδῶσα ποσσίν, πορφυρῆς θιγεῖν ὥρης·
ἦν γὰρ πέπειρος κεῖς τρύγητον ἀκμαία. 5
κάμνουσα δ' ἄλλως — οὐ γὰρ ἴσχυε ψαύειν —
[ὡς δ' οὐκ ἐφικνεῖτ', ἀλλ' ἔκαμνε πηδῶσα,
οὐδὲν κρεμαστῆς σχοῦσα πλεῖον αἰώρας,]
παρῆλθεν, οὕτω βουκολοῦσα τὴν λύπην·
„Ὄμφαξ ὁ βότρυς, οὐ πέπειρος, ὡς ᾤμην.“ 10

Ὁ μῦθος ἐλέγχει τοὺς εἰς ἀνέκβατα κοπιῶντας πράγματα καὶ τούτων ἀστοχοῦντας ψόγους ψευδεῖς προβαλλομένους.

6. [20.]

(ΒΟΗΛΑΤΗΣ ΚΑΙ ΗΡΑΚΛΗΣ.)

Βοηλάτης ἅμαξαν ἦγεν ἐκ κώμης.
τῆς δ' ἐμπεσούσης εἰς φάραγγα κοιλώδη,
δέον βοηθεῖν, * αὐτὸς ἀργὸς εἱστήκει·
τῷ δ' Ἡρακλεῖ προσηύχεθ', ὃν μόνον πάντων
θεῶν ἀληθῶς προσεκύνει τε κἀτίμα. 5
θεὸς δ' ἐπιστὰς εἶπε· „Τῶν τροχῶν ἅπτου

Digitized by Google

καὶ τοὺς βόας κέντριζε· τοῖς θεοῖς δ' εὔχου,
ὅταν τι ποιῇς καὐτός, ἢ μάτην εὔξῃ."

7. [25.]

(ΛΑΓΩΟΙ ΚΑΙ ΒΑΤΡΑΧΟΙ.)

Γνώμη λαγωοὺς εἶχε μηκέτι ζώειν,
πάντας δὲ λίμνης εἰς μέλαν πεσεῖν ὕδωρ,
ὁθούνεκ' εἰσὶν ἀδρανέστατοι ζῴων
ψυχάς τ' ἄτολμοι, μοῦνον εἰδότες φεύγειν.
ἐπεὶ δὲ λίμνης ἐγγὺς ἦσαν εὐρείης 5
καὶ βατράχων ὅμιλον εἶδον ἀκταίων
βαθέην ἐς ἰλὺν ὀκλαδιστὶ πηδώντων,
ἐπεστάθησαν, καί τις εἶπε θαρσήσας·
„Ἄψ νῦν ἴωμεν· οὐκέτι χρεὼν θνήσκειν·
ὁρῶ γὰρ ἄλλους ἀσθενεστέρους ἡμῶν." 10

8. [28.]

(ΒΟΥΣ ΚΑΙ ΦΡΥΝΟΣ.)

Γέννημα φρύνου συνεπάτησε βοῦς πίνων·
ἐλθοῦσα δ' ἔνδον — οὐ παρῆν γάρ — ἡ μήτηρ
παρὰ τῶν ἀδελφῶν ποῦ ποτ' ἦν ἐπεζήτει.
„Τέθνηκε, μῆτερ· ἄρτι γάρ, πρὸ τῆς ὥρης,
ἦλθεν πάχιστον τετράπουν, ὑφ' οὗ κεῖται 5
χηλῇ μαλαχθέν." ἡ δὲ φρῦνος ἠρώτα,
φυσῶσ' ἑαυτήν, εἰ τοσοῦτον ἦν ὄγκῳ
τὸ ζῷον. οἱ δὲ μητρί „Παῦε, μὴ πρίου·
θᾶσσον σεαυτήν" εἶπον „ἐκ μέσου ῥήξεις
ἢ τὴν ἐκείνου πιότητα μιμήσῃ." 10

Ὅτι ἐπικίνδυνον τοῖς ἐλάττοσι παρατείνεσθαι τοῖς μείζοσι.

Digitized by Google

9. [38.]

(ΠΕΤΚΗ.)

Δρυτόμοι τινὲς σχίσαντες ἀγρίην πεύκην
ἐνεῖραν αὐτῇ σφῆνας, ὡς διασταίη
γένοιτό τ' αὐτοῖς ὁ πόνος ὕστερον ῥᾴων.
πεύκη στένουσα „Πῶς ἄν" εἶπε „μεμφοίμην
τὸν πέλεκυν, ὅς μου μὴ προσῆκε τῇ ῥίζῃ, 5
ὡς τοὺς κακίστους σφῆνας, ὧν ἐγὼ μήτηρ;
ἄλλος γὰρ ἄλλῃ μ' ἐμπεσὼν διαρρήσσει."
Ὁ μῦθος ἡμῖν τοῦτο πᾶσι μηνύει,
ὡς οὐδὲν οὕτω δεινόν, ἂν ὑπ' ἀνθρώπων
πάθῃς τι τῶν ἔξωθεν ὡς ὑπ' οἰκείων. 10

10. [53.]

(ΛΥΚΟΣ ΚΑΙ ΑΛΩΠΗΞ.)

Εἰς λύκον ἀλώπηξ ἐμπεσοῦσα δειλαίη
ζωγρεῖν ἐδεῖτο μηδὲ γραῦν ἀποκτείνειν.
ὁ δ' „Ἂν λόγους μοι τρεῖς ἀληθινοὺς εἴπῃς,
ἐγώ σε νὴ τὸν Πᾶνα" φησί „ζωγρήσω."
ἡ δ' „Εἴθε μέν μοι πρῶτα μὴ συνηντήκεις· 5
ἔπειτα δ', εἴθε τυφλὸς ὢν ὑπηντήκεις·
τρίτον δ' ἐπ' αὐτοῖς, εἴθε μὴ σύ γ' εἰς ὥρας
ἵκοιο μηδέ μοι πάλιν συναντήσαις."

Ὅτι πολλάκις αἱ περιστάσεις πεφύκασι καὶ παρὰ γνώμην τὰ σιγῆς ἄξια εἰς τοὐμφανὲς ἄγειν.

11. [57.]

(ΕΡΜΟΥ ΑΜΑΞΑ ΚΑΙ ΑΡΑΒΕΣ.)

Ἑρμῆς, ἅμαξαν ψευσμάτων τε πληρώσας
ἀπάτης τε πολλῆς καὶ πανουργίης πάσης,

Digitized by Google

ἤλαυνε διὰ γῆς, ἄλλο φῦλον ἐξ ἄλλου
σχέδην ἀμείβων καὶ μέρος τι * τῶν ῥώπων
νέμων ἑκάστῳ μικρόν. ὡς δὲ τῷ χώρῳ 5
τῷ τῶν Ἀράβων ἐπῆλθε καὶ διεξῄει,
λέγουσιν αὐτοῦ συντριβεῖσαν ἐξαίφνης
ἐπισταθῆναι τὴν ἅμαξαν. οἱ δ', ὥσπερ
πολύτιμον ἁρπάζοντες ἐμπόρου φόρτον,
ἐκένωσαν αὐτήν οὐδ' ἀφῆκαν εἰς ἄλλους 10
ἔτι προελθεῖν, καίπερ ὄντας ἀνθρώπους.
ἐντεῦθεν Ἄραβές εἰσιν, ὡς ἐπειράθην,
ψεῦσταί τε καὶ γόητες, ὧν ἐπὶ γλώσσης
οὐδὲν κάθηται ῥῆμα τῆς ἀληθείας.

12. [58.]

(ΔΙΟΣ ΠΙΘΟΣ.)

Ζεὺς ἐν πίθῳ τὰ χρηστὰ πάντα συλλέξας
ἔθηκεν αὐτὸν πωμάσας παρ' ἀνθρώπῳ.
ὁ δ' ἀκρατὴς ἄνθρωπος, εἰδέναι σπεύδων,
τί ποτ' ἦν ἐν αὐτῷ, καὶ τὸ πῶμα κινήσας,
διῆκ' ἀπελθεῖν αὐτὰ πρὸς θεῶν οἴκους 5
κἀκεῖ πέτεσθαι τῆς τε γῆς ἄνω φεύγειν.
μόνη δ' ἔμεινεν Ἐλπίς, ἣν κατειλήφει
τεθὲν τὸ πῶμα. τοιγὰρ Ἐλπὶς ἀνθρώποις
μόνη σύνεστι, τῶν πεφευγότων ἥμας
ἀγαθῶν ἕκαστον ἐγγυωμένη δώσειν. 10

(cfr. Hesiod. Oper. 90—104.)

13. [74.]

(ΑΝΘΡΩΠΟΣ, ΙΠΠΟΣ, ΒΟΥΣ ΚΑΙ ΚΥΩΝ.)

Ἵππος τε καὶ βοῦς καὶ κύων ὑπὸ ψύχους
κάμνοντες ἦλθον οἰκίην ἐς ἀνθρώπου.

Digitized by Google

κἀκεῖνος αὐτοῖς τὰς θύρας ἀναπλώσας
παρῆγεν ἔνδον, καὶ παρ' ἑστίῃ θάλψας
πυρὸς γεμούσῃ παρετίθει τι τῶν ὄντων, 5
κριθὰς μὲν ἵππῳ, λάθυρα δ' ἐργάτῃ ταύρῳ·
ὁ κύων γὰρ αὐτῷ συντράπεζος εἱστήκει.
ξενίης δ' ἀμοιβὴν ἀντέδωκαν ἀνθρώπῳ,
μερίσαντες αὐτῷ τῶν ἐτῶν, ἀφ' ὧν ἔζων·
ὁ μὲν ἵππος εὐθύ· διόπερ ἐν χρόνοις πρώτοις 10
ἕκαστος ἡμῶν γαῦρός ἐστι τὴν γνώμην·
ὁ δὲ βοῦς μετ' αὐτόν· διόπερ εἰς μέσους ἥκων
μοχθεῖ φιλεργός τ' ἐστὶν ὄλβον ἀθροίζων.
ὁ κύων δ' ἔδωκε, φασί, τοὺς τελευταίους·
διὸ δυσκολαίνει, Βράγχε, πᾶς ὁ γηράσας 15
καὶ τὸν διδόντα τὴν τροφὴν μόνον σαίνει,
ἀεὶ δ' ὑλακτεῖ καὶ ξένοισιν οὐ χαίρει.

Διαβολὴν ὁ μῦθος ἔχει ἀνδρῶν ἐκείνων τῶν μηδεμίαν τοῖς ξένοις πρόνοιαν ποιουμένων, εἰς μόνους δὲ τοὺς οἰκείους τὴν στοργὴν περιϊστώντων, ἀπὸ τῆς τοῦ κυνὸς ὑποδείξεως.

14. [77.]

(ΚΟΡΑΞ ΚΑΙ ΑΛΩΠΗΞ.)

Κόραξ δεδηχὼς στόματι τυρὸν εἱστήκει·
τυροῦ δ' ἀλώπηξ ἰχανῶσα κερδῴη
μύθῳ τὸν ὄρνιν ἠπάτησε τοιούτῳ·
„Κόραξ, καλαί σοι πτέρυγες, ὀξέη γλήνη,
θηητὸς αὐχήν, στέρνον αἰετοῦ φαίνεις, 5
ὄνυξι πάντων θηρίων κατισχύεις·
ὁ τοῖος ὄρνις κωφός ἐσσι κοὐ κρώζεις."
κόραξ δ' ἐπαίνῳ καρδίην ἐχαυνώθη,
στόματος δὲ τυρὸν ἐκβαλὼν ἐκεκράγει.

Digitized by Google

ὃν ἡ σοφὴ λαβοῦσα κερτόμῳ γλώσσῃ 10
„Οὐκ ἦσθ' ἄφωνος" εἶπεν „ἀλλὰ φωνήεις.
ἔχεις, κόραξ, ἅπαντα· νοῦς δέ σοι λείπει."

Ὁ μῦθος διδάσκει μηδαμῶς ἄνθρωπον ἐπαίνοις ἐξαπατᾶσθαι· ζημίαι γὰρ ἐντεῦθεν καὶ ἀτιμίαι εἰώθασι γίνεσθαι.

15. [95.]

(ΛΕΩΝ ΝΟΣΗΣΑΣ.)

Λέων νοσήσας ἐν φάραγγι πετραίῃ
ἔκειτο, νωθρὰ γυῖα γῆς ἐφαπλώσας·
φίλην δ' ἀλώπεκ' εἶχεν, ᾗ προσωμίλει.
ταύτῃ ποτ' εἶπεν· „Εἰ θέλεις με σὺ ζώειν —
πεινῶ γὰρ ἐλάφου τῆς ὑπ' ἀγρίαις πεύκαις 5
κεῖνον τὸν ὑλήεντα δρυμὸν οἰκούσης,
καὶ νῦν διώκειν ἔλαφον οὐκέτ' ἰσχύω —
σὺ δ' ἂν θελήσῃς, χεῖρας εἰς ἐμὰς ἥξει,
λόγοισι θηρευθεῖσα σοῖς μελιγλώσσοις."
ἀπῆλθε κερδώ· τὴν δ' ὑπ' ἀγρίαις ὕλαις 10
σκιρτῶσαν εὗρε μαλθακῆς ὑπὲρ ποίης·
* ᾔκαλλε δ' αὐτὴν πρῶτον, εἶτα καὶ χαίρειν
προσεῖπε χρηστῶν τ' ἄγγελος λόγων ἥκειν.
„Ὁ λέων" ἔφασκεν „οἶδας, ἔστι μοι γείτων·
ἔχει δὲ φαύλως κἀγγύς ἐστι τοῦ θνήσκειν. 15
τίς οὖν μετ' αὐτὸν θηρίων τυραννήσει,
διεσκοπεῖτο· σῦς μέν ἐστιν ἀγνώμων,
ἄρκτος δὲ νωθής, πάρδαλις δὲ θυμώδης,
τίγρις δ' ἀλαζὼν καὶ τὸ πᾶν ἐρημαίη.
ἔλαφον τυραννεῖν ἀξιωτάτην κρίνει· 20
γαύρη μὲν εἶδος, πολλὰ δ' εἰς ἔτη ζώει,
κέρας δὲ φοβερὸν πᾶσιν ἑρπετοῖς φύει,

Digitized by Google

δένδροις ὅμοιον κοὐχ ὁποῖα τῶν ταύρων.
τί σοι λέγω τὰ πολλά; πλὴν ἐκυρώθης
μέλλεις τ' ἀνάσσειν θηρίων ὀρειφοίτων. 25
τότ' αὖ γένοιτο τῆς ἀλώπεκος μνήμη,
δέσποινα, τῆς σοι τοῦτο πρῶτον εἰπούσης.
ταῦτ' ἦλθον. ἀλλὰ χαῖρε, φιλτάτη· σπεύδω
πρὸς τὸν λέοντα, μὴ πάλαι με ζητήσῃ·
χρῆται γὰρ ἡμῖν εἰς ἅπαντα συμβούλοις. 30
δοκῶ δέ, καὶ σέ, τέκνον, εἴ τι τῆς γραίης
κεφαλῆς ἀκούεις, * ἔπρεπεν παρεδρεύειν
ἐλθοῦσαν αὐτῷ καὶ πονοῦντα θαρσύνειν.
τὰ μικρὰ πείθει τοὺς ἐν ἐσχάταις ὥραις·
ψυχαὶ δ' ἐν ὀφθαλμοῖσι τῶν τελευτώντων." 35
ὣς εἶπε κερδώ. τῆς δ' ὁ νοῦς ἐχαυνώθη
λόγοισι ποιητοῖσιν· ἦλθε δ' εἰς κοίλην
σπήλυγγα θηρὸς καὶ τὸ μέλλον οὐκ ᾔδει.
λέων δ' ἀπ' εὐνῆς ἀσκόπως ἐφορμήσας
ὄνυξιν οὔατ' ἐσπάραξεν ἀκραίοις, 40
σπουδῇ διωχθείς· τὴν δὲ φύζα δειλαίην
θύρης κατιθὺς ἦγεν εἰς μέσας ὕλας.
κερδὼ δὲ χεῖρας ἐπεκρότησεν ἀλλήλαις,
ἐπεὶ πόνος μάταιος ἐξανηλώθη.
κἀκεῖνος ἐστέναξε, τὸ στόμα βρύχων· 45
ὁμοῦ γὰρ αὐτὸν λιμὸς εἶχε καὶ λύπη.
πάλιν δὲ κερδὼ καθικέτευε φωνήσας,
ἄλλον τιν' εὑρεῖν δεύτερον δόλον θήρης.
ἡ δ' εἶπε κινήσασα βυσσόθεν γνώμην·
„Χαλεπὸν κελεύεις αὖθις, ἀλλ' ὑπουργήσω." 50
καὶ δὴ κατ' ἴχνος, ὡς σοφὴ κύων, ᾔει,
πλέκουσα τέχνας καὶ πανουργίας πάσας·

Digitized by Google

ἀεὶ δ' ἕκαστον ποιμένων ἐπηρώτα,
μή πού τις ἔλαφος ἠμματωμένη φεύγει.
τὴν δ' ὥς τις εἶδε, δεικνύων ἂν ὡδήγει, 55
ἕως ποθ' εὗρεν ἐν κατασκίῳ χώρῳ
δρόμων ἀναψύχουσαν. ἡ δ' ἀναιδείης
ὀφρὺν ἔχουσα καὶ μέτωπον εἱστήκει.
ἐλάφου δὲ φρὶξ ἐπέσχε νῶτα καὶ κνήμας,
χολὴ δ' ἐπέζει καρδίην· ἔφη δ' οὕτως· 60
[„Σὺ νῦν διώκεις πανταχοῦ μ' ὅποι φεύγω.]
ἀλλ', ὦ στύγημα, νῦν μὲν οὐχὶ χειρώσεις,
ἤν μοι προσέλθῃς καὶ † γρύξαι τι τολμήσῃς.
ἄλλοις ἀλωπέκιζε τοῖς ἀπειρήτοις·
ἄλλους δὲ βασιλεῖς ὑπερέθιζε καὶ ποίει." 65
τῆς δ' οὐκ ἐτρέφθη θυμός· ἀλλ' ὑποβλήδην
„Οὕτως ἀγεννής" φησί „καὶ φόβου πλήρης
πέφυκας; οὕτω τοὺς φίλους ὑποπτεύεις;
ὁ μὲν λέων σοι συμφέροντα βουλεύων
μέλλων τ' ἐγείρειν τῆς πάροιθε νωθείης 70
ἔψαυσεν ὠτός, ὡς πατὴρ ἀποθνήσκων·
ἔμελλε γάρ σοι πᾶσαν ἐντολὴν δώσειν,
ἀρχὴν τοσαύτην πῶς λαβοῦσα τηρήσεις.
σὺ δ' οὐχ ὑπέστης κνίσμα χειρὸς ἀρρώστου,
βίῃ δ' ἀποσπασθεῖσα μᾶλλον ἐτρώθης. 75
καὶ νῦν ἐκεῖνος πλεῖον ἢ σὺ θυμοῦται,
λίην ἄπιστον πειράσας σε καὶ κούφην,
βασιλῆ δέ φησι τὸν λύκον καταστήσειν.
οἴμοι πονηροῦ δεσπότου· τί ποιήσω;
ἅπασιν ἡμῖν αἰτίη κακῶν γίνῃ. 80
ἀλλ' ἐλθὲ καὶ τὸ λοιπὸν ἴσθι γενναίη,
μηδ' ἐπτόησο πρόβατον οἷον ἐκ ποίμνης.

Digitized by Google

ὄμνυμι γάρ σοι φύλλα πάντα καὶ κρήνας·
οὕτω γένοιτο σοὶ μόνῃ με δουλεύειν,
ὡς οὐδὲν ἐχθρὸν οἶδεν, ἀλλ' ὑπ' εὐνοίης 85
τίθησι πάντων κυρίην σε τῶν ζῴων."
τοιαῦτα κωτίλλουσα τὴν ἀχαιΐνην
ἔπεισεν ἐλθεῖν δὶς τὸν αὐτὸν εἰς ᾅδην.
ἐπεὶ δὲ λόχμης εἰς μυχὸν κατεκλείσθη,
λέων μὲν αὐτὸς εἶχε δαῖτα πανθοίνην, 90
σάρκας λαφύσσων, μυελὸν ὀστέων πίνων
καὶ σπλάγχνα δάπτων· ἡ δ' ἀγωγὸς εἱστήκει·
πεινῶσα θήρης· καρδίην δὲ νεβρείην
λάπτει πεσοῦσαν, ἁρπάσασα λαθραίως,
καὶ τοῦτο κέρδος εἶχεν ὧν ἐκεκμήκει. 95
λέων δ' ἕκαστον ἐγκάτων ἀριθμήσας
μόνην ἀπ' ἄλλων καρδίην ἐπεζήτει
καὶ πᾶσαν εὐνήν, πάντα δ' οἶκον ἠρεύνα·
κερδῶ δ' ἀπαιολῶσα τῆς ἀληθείης
„Οὐκ εἶχε πάντως" φησί „μὴ μάτην ζήτει· 100
ποίην δ' ἔμελλε καρδίην ἔχειν, ἥτις
ἐκ δευτέρου λέοντος ἦλθεν εἰς οἴκους;"

Ὅτι τοὺς τοῖς προλαβοῦσι κακοῖς μὴ σωφρονισθέντας εἰκότως ἄφυκτα κακὰ διαδέχεται· ἐν ᾧ καὶ ἔλεγχος κατὰ φιλοδόξων.

16. [100.]

(ΛΥΚΟΣ ΚΑΙ ΚΥΩΝ.)

Λύκῳ συνήντα πιμελὴς κύων λίην.
ὁ δ' αὐτὸν ἐξήταζε, ποῦ τραφεὶς οὕτως
μέγας κύων ἐγένετο καὶ λίπους πλήρης.
„Ἄνθρωπος" εἶπε „δαψιλής με σιτεύει."
„Ὁ δέ σοι τράχηλος, εἰπέ, πῶς ἐλευκώθη;" 5

Digitized by Google

„Κλοιῷ τέτριπται σάρκα τῷ σιδηρείῳ,
ὃν ὁ τροφεύς μοι περιτέθεικε χαλκεύσας.“
λύκος δ' ἐπ' αὐτῷ καγχάσας „Ἐγὼ τοίνυν
χαίρειν κελεύω“ φησί „τῇ τρυφῇ ταύτῃ,
δι' ἣν σίδηρος τὸν ἐμὸν αὐχένα τρίψει.“ 10

Ὅτι αἰσχρὸν καὶ ἐπονείδιστον ὃν τὸ μικρᾶς ἡδονῆς χάριν δουλοπρεπῶς ζῆν φευκτέον ὁ μῦθος παραινεῖ.

17. [108.]

(ΜΥΣ ΑΡΟΥΡΑΙΟΣ ΚΑΙ ΜΥΣ ΑΣΤΙΚΟΣ.)

Μυῶν ὁ μέν τις βίον ἔχων ἀρουραῖον,
ὁ δ' ἐν ταμείοις πλουσίοισι φωλεύων,
ἔθεντο κοινὸν τὸν βίον πρὸς ἀλλήλους.
ὁ δ' οἰκόσιτος πρότερος ἦλθε δειπνήσων
ἐπὶ τῆς ἀρούρης ἄρτι χλωρὸν ἀνθούσης· 5
τρώγων δ' ἀραιὰς καὶ διαβρόχους σίτου
ῥίζας, μελαίνῃ συμπεφυρμένας βώλῳ,
„Μύρμηκος“ εἶπε „ζῇς βίον ταλαιπώρου,
ἐν πυθμέσιν γῆς κρῖμνα λεπτὰ βιβρώσκων·
ἐμοὶ δ' ὑπάρχει πολλὰ καὶ περισσεύει· 10
τὸ κέρας κατοικῶ πρὸς σὲ τῆς Ἀμαλθείης.
εἴ μοι συνέλθοις, ὡς θέλεις, ἀσωτεύσῃ,
παρεὶς ὀρύσσειν ἀσφάλαξι τὴν χώρην.“
ἀπῆγε τὸν μῦν τὸν γεηπόνον πείσας
εἰς οἶκον ἐλθεῖν ὑπό τε τοῖχον ἀνθρώπου. 15
ἔδειξε δ' αὐτῷ, ποῦ μὲν ἀλφίτων πλήθη,
ποῦ δ' ὀσπρίων ἦν σωρὸς ἢ πίθοι σύκων
στάμνοι τε μέλιτος σώρακοί τε φοινίκων.
ὁ δ' ὡς ἐτέρφθη πᾶσι καὶ παρωρμήθη
καὶ τυρὸν ἦγεν ἐκ κανισκίου σύρων, 20
ΚΗ. οὔ, πρίν γε χώραν τήνδε κινδύνῳ βαλεῖν.
ΑΝ. παθὼν κακῶς κακοῖσιν ἀντημείβετο.
ΚΗ. ἀλλ' εἰς ἅπαντας ἀνθ' ἑνὸς τόδ' ἔργον ἦν. 1050
ΑΝ. Ἔρις περαίνει μῦθον ὑστάτη θεῶν.
ἐγὼ δὲ θάψω τόνδε· μὴ μακρηγόρει.
ΚΗ. ἀλλ' αὐτόβουλος ἴσθ', ἀπεννέπω δ' ἐγώ.
ΧΟ. φεῦ φεῦ.
ὦ μεγάλαυχοι καὶ φθερσιγενεῖς
Κῆρες Ἐρινύες, αἶτ' Οἰδιπόδα 1055
γένος ὠλέσατε πρέμνοθεν οὕτως,
τί πάθω; τί δὲ δρῶ; τί δὲ μήσωμαι;
πῶς τολμήσω μήτε σὲ κλάειν
μήτε προπέμπειν ἐπὶ τύμβῳ;
ἀλλὰ φοβοῦμαι κἀποτρέπομαι 1060
δεῖμα πολιτῶν.
σύ γε μὴν πολλῶν πενθητήρων
τεύξει· κεῖνος δ' ὁ τάλας ἄγοος
μονόκλαυτον ἔχων θρῆνον ἀδελφῆς
εἶσιν. τίς ἂν οὖν * τάδ' ἕλοιτο; 1065
ΗΜ.α'. δράτω τι πόλις καὶ μὴ δράτω
τοὺς κλάοντας Πολυνείκη·
ἡμεῖς μὲν ἴμεν καὶ συνθάψομεν
αἵδε προπομποί. καὶ γὰρ γενεᾷ

---

v. 1054—1078 anapaesti.

Digitized by Google

κοινὸν τόδ' ἄχος, καὶ πόλις ἄλλως 1070
ἄλλοτ' ἐπαινεῖ τὰ δίκαια.
ΗΜ.β'.ἡμεῖς δ' ἅμα τῷδ', ὥσπερ τε πόλις
καὶ τὸ δίκαιον ξυνεπαινεῖ.
μετὰ γὰρ μάκαρας καὶ Διὸς ἰσχὺν
ὅδε Καδμείων ἤρυξε πόλιν 1075
μὴ ἀνατραπῆναι μηδ' ἀλλοδαπῶν
κύματι φωτῶν
κατακλυσθῆναι τὰ μάλιστα.

* * *

ΑΓΑΜΕΜΝΩΝ.

Ὑπόθεσις.

Ἀγαμέμνων εἰς Ἴλιον ἀπιὼν τῇ Κλυταιμνήστρᾳ * ὑπέσχετο, εἰ πορθήσοι τὸ Ἴλιον, τῆς αὐτῆς ἡμέρας σημανεῖν διὰ τοῦ πυρσοῦ. ὅθεν σκοπὸν ἐκάθισεν ἐπὶ μισθῷ Κλυταιμνήστρα, ἵνα τηροίη τὸν πυρσόν. καὶ ὁ μὲν ἰδὼν ἀπήγγειλεν, αὐτὴ δὲ τῶν πρεσβυτῶν ὄχλον μεταπέμπεται περὶ τοῦ πυρσοῦ ἐροῦσα· ἐξ ὧν καὶ ὁ χορὸς συνίσταται· οἵτινες ἀκούσαντες παιανίζουσι. μετ' οὐ πολὺ δὲ καὶ Ταλθύβιος παραγίνεται καὶ τὰ κατὰ τὸν πλοῦν διηγεῖται. Ἀγαμέμνων δ' ἐπὶ ἁπήνης ἔρχεται· εἵπετο δ' αὐτῷ ἑτέρα ἁπήνη, ἔνθα ἦν τὰ λάφυρα καὶ ἡ Κασάνδρα. αὐτὸς μὲν οὖν προεισέρχεται εἰς τὸν οἶκον σὺν τῇ Κλυταιμνήστρᾳ, Κασάνδρα δὲ προμαντεύεται, πρὶν εἰς τὰ βασίλεια εἰσελθεῖν, τὸν ἑαυτῆς καὶ τοῦ Ἀγαμένονος θάνατον καὶ τὴν ἐξ Ὀρέστου μητροκτονίαν, καὶ εἰσπηδᾷ ὡς θανουμένη, ῥίψασα τὰ στέμματα. τοῦτο δὲ τὸ μέρος τοῦ δράματος θαυμάζεται ὡς καὶ ἔκπληξιν ἔχον καὶ οἶκτον ἱκανόν. ἰδίως δὲ Αἰσχύλος τὸν Ἀγαμέμνονα ἐπὶ σκηνῆς ἀναιρεῖσθαι ποιεῖ, τὸν δὲ Κασάνδρας σιωπήσας θάνατον νεκρὰν αὐτὴν ὑπέδειξε, πεποίηκέ τε Αἴγισθον καὶ Κλυταιμνήστραν ἑκάτερον διισχυριζόμενον περὶ τῆς ἀναιρέσεως ἑνὶ κεφαλαίῳ, τὴν μὲν τῇ ἀναιρέσει Ἰφιγενείας, τὸν δὲ ταῖς τοῦ πατρὸς Θυέστου ἐξ Ἀτρέως συμφοραῖς.

Digitized by Google

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ ἄρχοντος Φιλοκλέους ὀλυμπιάδι ὀγδοηκοστῇ ἔτει δευτέρῳ (a. 458 a. Chr.). *πρῶτος Αἰσχύλος Ἀγαμέμνονι, Χοηφόροις, Εὐμενίσι, Πρωτεῖ σατυρικῷ. ἐχορήγει Ξενοκλῆς Ἀφιδνεύς.*

Θεράπων Ἀγαμέμνονος ὁ προλογιζόμενος, οὐχὶ ὁ ὑπὸ Αἰγίσθου ταχθείς.

Excubitor conspecto tandem facis signo, quo se indicaturum Graecorum victoriam Agamemnon reginae promiserat, laetitia exsultat; idem insidias reduci victori paratas tecte significat (*Πρόλογος*). Clytaemnestra de Troiae excidio statim certior facta per aras passim sacra accendi iubet; causa rei adhuc fugit chorum, qui ex senibus Argivis constans ad anapaestos recitandos prodit.

Πάροδος [v. 40—255].

Δέκατον μὲν ἔτος τόδ', ἐπεὶ Πριάμου 40
μέγας ἀντίδικος,
Μενέλαος ἄναξ ἠδ' Ἀγαμέμνων,
διθρόνου Διόθεν καὶ δισκήπτρου
τιμῆς ὀχυρὸν ζεῦγος Ἀτρείδαιν,
στόλον Ἀργείων χιλιοναύτην 45
τῆσδ' ἀπὸ χώρας
ἦραν, στρατιῶτιν ἀρωγήν,
μέγαν ἐκ θυμοῦ κλάζοντες Ἄρη,
τρόπον αἰγυπιῶν,
οἵτ' ἐκπατίοις ἄλγεσι παίδων 50
ὕπατοι λεχέων στροφοδινοῦνται
πτερύγων ἐρετμοῖσιν ἐρεσσόμενοι,
δεμνιοτήρη
πόνον ὀρταλίχων ὀλέσαντες·

---

v. 40—103 anapaesti.

Digitized by Google

ὕπατος δ' ἀΐων ἤ τις Ἀπόλλων 55
ἢ Πὰν ἢ Ζεὺς οἰωνόθροον
γόον ὀξυβόαν τῶνδε μετοίκων
ὑστερόποινον
πέμπει παραβᾶσιν Ἐρινύν.
οὕτω δ' Ἀτρέως παῖδας ὁ κρείσσων 60
ἐπ' Ἀλεξάνδρῳ πέμπει ξένιος
Ζεύς, πολυάνορος ἀμφὶ γυναικὸς
πολλὰ παλαίσματα καὶ γυιοβαρῆ
γόνατος κονίαισιν ἐρειδομένου
διακναιομένης τ' ἐν προτελείοις 65
κάμακος θήσων Δαναοῖσι
Τρωσί θ' ὁμοίως. ἔστι δ' ὅπῃ νῦν
ἔστι· τελεῖται δ' ἐς τὸ πεπρωμένον·
οὔθ' ὑποκάων οὔθ' ὑπολείβων
οὔτε δακρύων ἀπύρων ἱερῶν 70
ὀργὰς ἀτενεῖς παραθέλξει.
ἡμεῖς δ' ἀτίται σαρκὶ παλαιᾷ
τῆς τότ' ἀρωγῆς ὑπολειφθέντες
μίμνομεν, ἰσχὺν
ἰσόπαιδα νέμοντες ἐπὶ σκήπτροις. 75
ὅ τε γὰρ νεαρὸς μυελὸς στέρνων
ἐντὸς ἀνᾴσσων
ἰσόπρεσβυς, Ἄρης δ' οὐκ * ἐν ἀχρείοις,
* ὁ θ' ὑπέργηρως φυλλάδος ἤδη
κατακαρφομένης τρίποδας μὲν ὁδούς 80
στείχει, παιδὸς δ' οὐδὲν ἀρείων
ὄναρ ἡμερόφαντον ἀλαίνει.
Σὺ δέ, Τυνδάρεω
θύγατερ, βασίλεια Κλυταιμνήστρα,

Digitized by Google

τί χρέος; τί νέον; τί δ' ἐπαισθομένη, 85
τίνος ἀγγελίας
πειθοῖ περίπεμπτα * θυοσκεῖς;
πάντων δὲ θεῶν τῶν ἀστυνόμων,
ὑπάτων, χθονίων,
τῶν τε * προνάων τῶν τ' ἀγοραίων, 90
βωμοὶ δώροισι φλέγονται·
ἄλλη δ' ἄλλοθεν οὐρανομήκης
λαμπὰς ἀνίσχει,
φαρμασσομένη χρίματος ἁγνοῦ
μαλακαῖς ἀδόλοισι παρηγορίαις, 95
πελάνῳ μυχόθεν βασιλείῳ.
τούτων λέξασ' ὅ τι καὶ δυνατόν
καὶ θέμις αἰνεῖν,
παιὼν σὺ γενοῦ τῆσδε μερίμνης,
ἣ νῦν τοτὲ μὲν κακόφρων τελέθει, 100
τοτὲ δ' ἐκ θυσιῶν ἀγανὴ φαίνουσ'
ἐλπὶς ἀμύνει φροντίδ' ἄπληστον,
τὴν θυμοβόρον * φρενὶ λύπην.

Στρ. α'.

κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν
ἐντελέων· ἔτι γὰρ θεόθεν καταπνείει 105
* πειθοῖ μολπᾶν
ἀλκὰν σύμφυτος αἰών·

Stropha α' v. 104—121 = Antistr. α' v. 122—139.

d – ⏑̄ – ⏑ – ⏑ – ⏑ – ⏑ – –
d – ⏑ – ⏑ – ⏑ – ⏑ – –
d – – – –
d – – – ⏑ – –
ia ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ ⏑ – 5
d – ⏑ – –

Digitized by Google

ὅπως Ἀχαιῶν δίθρονον κράτος, Ἑλλάδος ἥβας
ξύμφρονα ταγάν, 110
πέμπει σὺν δορὶ καὶ χερὶ πράκτορι θούριος ὄρνις
Τευκρίδ' ἐπ' αἶαν,
οἰωνῶν βασιλεὺς βασιλεῦσι νεῶν, ὁ κελαινὸς ὅ τ'
ἐξόπιν ἀργᾶς, 115
φανέντες ἵκταρ μελάθρων χερὸς ἐκ δοριπάλτου
παμπρέπτοις ἐν ἕδραισιν,
βοσκόμενοι λαγίναν ἐρικύμονα φέρματι γένναν,
βλαβέντα λοισθίων δρόμων. 120
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.

Ἀντ. α'.

κεδνὸς δὲ στρατόμαντις ἰδὼν δύο λήμασιν ἴσους
Ἀτρεΐδας μαχίμους ἐδάη λαγοδαίτας
πομπούς τ' ἀρχάς·
οὕτω δ' εἶπε τεράζων· 125
Χρόνῳ μὲν ἀγρεῖ Πριάμου πόλιν ἅδε κέλευθος,
πάντα δὲ πύργων
κτήνη * πρόσθετα δημιοπληθέα Μοῖρα λαπάξει
πρὸς τὸ βίαιον. 130
οἷον μή τις ἄγα θεόθεν κνεφάσῃ προτυπὲν στόμιον
μέγα Τροίας
στρατωθέν. οἴκτῳ γὰρ ἐπίφθονος Ἄρτεμις ἁγνά

---

d – – – ⏑ – ⏑ – ⏑ – ⏑ – –
dt – ⏑ – ⏑
d – – – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – –
ia ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ ⏑ – 10
d – – – ⏑ – ⏑̄
d – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – –
i ⏑ – ⏑ – ⏑ – ⏑ –
d – ⏑ – ⏑ – ⏑ – – – –

Digitized by Google

πτανοῖσιν κυσὶ πατρός 136
αὐτότοκον πρὸ λόχου μογερὰν πτάκα θυομένοισιν·
στυγεῖ δὲ δεῖπνον ἀετῶν.
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω.

Ἐπῳδός.

τόσσον περ εὔφρων ἁ καλά 140
δρόσοις ἀέπτοις μαλερῶν λεόντων
πάντων τ' ἀγρονόμων φιλομάστοις
θηρῶν ὀβρικάλοισι τερπνά
* στρουθῶν αἰτεῖ ξύμβολα κρῖναι, 144
δεξιὰ μέν, κατάμομφα δὲ φάσματα.
ἰήϊον δὴ καλέω Παιᾶνα,
μή τινας ἀντιπνόους Δαναοῖς χρονίας ἐχενῇδας ἁ-
πλοίας 150

Ἐπῳδός v. 140—159.

i ‿ ‿ ⏑ – ‿ ‿ ⏑ –
ia ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ –
d – – – ⏑ – ⏑ – –
dt – – – ⏑ – ⏑ – –
d – – – – – ⏑ – – 5
dt – ⏑ – ⏑ – ⏑ – ⏑ ⏑̄
ia ⏑ – ⏑ ⏑ – ⏑ – – ⏑ ⏑̄
d – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – –
d – – – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏑ – –
dt – – – ⏑ – ⏑ – – – ⏑ ⏑̄ 10
d – – – ⏑ – ⏑ – ⏑
d – ⏑ – ⏑ – – – – – ⏑ – –
d – ⏑ – –
d – ⏑ – ⏑ – ⏑ – –
d – ⏑ – – – ⏑ – – – ⏑ – – 15
dt – ⏑ – ⏑
d – ⏑ – ⏑ – ⏑ – – – –

Digitized by Google

τεύξῃ, σπευδομένα θυσίαν ἑτέραν ἄνομόν τιν', ἄ-
δαιτον,
νεικέων τέκτονα σύμφυτον, οὐ δεισήνορα·
μίμνει γὰρ φοβερὰ παλίνορτος
οἰκονόμος δολία μνάμων μῆνις τεκνόποινος. 155
Τοιάδε Κάλχας
ξὺν μεγάλοις ἀγαθοῖς ἀπέκλαγξεν
μόρσιμ' ἀπ' ὀρνίθων ὁδίων οἴκοις βασιλείοις.
τοῖς δ' ὁμόφωνον
αἴλινον αἴλινον εἰπέ, τὸ δ' εὖ νικάτω. 159

Στρ. β'.

160 Ζεὺς ὅστις ποτ' ἐστίν, εἰ τόδ' αὐτῷ φίλον κεκλη-
μένῳ,
τοῦτό νιν προσεννέπω.
οὐκ ἔχω προσεικάσαι πάντ' ἐπισταθμώμενος 164
πλὴν Διός, εἰ τὸ μάταν ἀπὸ φροντίδος ἄχθος
χρὴ βαλεῖν ἐτητύμως.

Ἀντ. β'.

168 οὐδ' ὅστις πάροιθεν ἦν μέγας, παμμάχῳ θράσει
βρύων,
οὐδὲ λέξεται πρὶν ὤν· 170
ὃς δ' ἔπειτ' ἔφυ, τριακτῆρος οἴχεται τυχών.
Ζῆνα δέ τις προφρόνως ἐπινίκια κλάζων
τεύξεται φρενῶν τὸ πᾶν· 175

Stropha β' v. 160—167 = Antistr. β' v. 168—175.

t ⌟ ⌟ _ ∪ _ ∪ _ ∪ ⌟ _ ∪ _ ∪ _ ∪ _
t _ ∪ _ ∪ _ ∪ _
t _ ∪ _ ∪ _ ∪ ⌟ _ ∪ _ ∪ _ ∪ _
d _ ω _ ω _ ω _ ω _ _
t _ ∪ _ ∪ _ ∪ _ 5

Digitized by Google

Στρ. γ'.

176 τὸν φρονεῖν βροτοὺς ὁδώσαντα, τὸν πάθει μάθος
θέντα κυρίως ἔχειν.
στάζει * δ' ἄνθ' ὕπνου πρὸ καρδίας 179
μνησιπήμων πόνος, καὶ παρ' ἄκοντας ἦλθε σωφρονεῖν·
δαιμόνων δέ που χάρις βιαίως
σέλμα σεμνὸν ἡμένων.

Ἀντ. γ'.

184 καὶ τόθ' ἡγεμὼν ὁ πρέσβυς νεῶν Ἀχαιϊκῶν
μάντιν οὐκ * ἔτλα ψέγειν 186
ἐμπαίοις τύχαισι συμπνέων,
εὖτ' ἀπλοίᾳ κεναγγεῖ βαρύνοντ' Ἀχαιϊκὸς λεώς,
Χαλκίδος πέραν ἔχων παλιρρό- 190
χθοις ἐν Αὐλίδος τόποις·

Στρ. δ'.

192 πνοαὶ δ' ἀπὸ Στρυμόνος μολοῦσαι
κακόσχολοι, νήστιδες, δύσορμοι,
βροτῶν ἅλαι, νεῶν τε καὶ πεισμάτων ἀφειδεῖς, 195
παλιμμήκη χρόνον τιθεῖσαι

Stropha γ' v. 176—183 = Antistr. γ' v. 184—191.

t – ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ –
t – ⏑ – ⏑ – ⏑ –
t ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ –
t – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ –
t – ⏑ – ⏑ – ⏑ – ⏑ ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ – 5

Stropha δ' v. 192—204 = Antistr. δ' v. 205—217.

i ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ –
i ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ –
i ⏑ – ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ ⏑ ⏓
i ⏑ ⏑ ⏑ – ⏑ – ⏑ ⏑ ⏓
i ⏒ – ⏑ ⏑ – ⏑ – ⏒ – ⏑ – 5
i ⏑ – ⏑ – ⏑ –

Digitized by Google

τρίβῳ κατέξαινον ἄνθος * ἀνέρων·
ἐπεὶ δὲ καὶ πικροῦ
χείματος ἄλλο μῆχαρ
βριθύτερον πρόμοισιν 200
μάντις ἔκλαγξεν προφέρων Ἄρτεμιν, ὥστε χθόνα βάκτροις ἐπικρούσαντας Ἀτρείδας δάκρυ μὴ κατασχεῖν·

Ἀντ. δ'.

ἄναξ δ' ὁ πρέσβυς τόδ' εἶπε φωνῶν· 205
Βαρεῖα μὲν κὴρ τὸ μὴ πιθέσθαι,
βαρεῖα δ', εἰ τέκνον δαΐξω, δόμων ἄγαλμα,
μιαίνων παρθενοσφάγοισιν
ῥείθροις πατρῴους χέρας βωμοῦ πέλας. 210
τί τῶνδ' ἄνευ κακῶν;
πῶς λιπόναυς γένωμαι
ξυμμαχίας ἁμαρτών;
παυσανέμου γὰρ θυσίας παρθενίου θ' αἵματος ὀργᾷ περιοργῶς ἐπιθυμεῖν θέμις. εὖ γὰρ εἴη.

Στρ. ε'.

218 Ἐπεὶ δ' ἀνάγκας ἔδυ λέπαδνον
φρενὸς πνέων δυσσεβῆ τροπαίαν
ἄναγνον, ἀνίερον, τόθεν 220
τὸ παντότολμον φρονεῖν μετέγνω.
βροτοὺς θρασύνει γὰρ αἰσχρόμητις

dt _ ⏑ _ ⏑ _ _
dt _ ⏑ _ ⏑ _ _
dt _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ _ ⏑ _ _

Stropha ε' v. 218—227 = Antistr. ε' v. 228—237.

i ⏑ _ ⏑ ⏑ _ ⏑ _ ⏑ ⏑ _
i ⏑ _ ⏑ ⏑ _ ⏑ _ ⏑ ⏑ _ ⏑ _ ⏑ ⏑ ⏑ ⏑ _ ⏑ _
i ⏑ _ ⏑ ⏑ _ ⏑ _ ⏑ ⏑ _

Digitized by Google

τάλαινα παρακοπά
πρωτοπήμων. ἔτλα δ' οὖν
θυτὴρ γενέσθαι θυγατρός, γυναικοποίνων πολέμων
ἀρωγάν 226
καὶ προτέλεια ναῶν.

Ἀντ. ε'.

228 λιτὰς δὲ καὶ κληδόνας πατρῴους
παρ' οὐδὲν αἰῶνα * παρθένειόν τ'
ἔθεντο φιλόμαχοι βραβῆς. 230
φράσεν δ' ἀόζοις πατὴρ μετ' εὐχάν
δίκαν χιμαίρας ὕπερθε βωμοῦ
πέπλοισι περιπετῆ
παντὶ θυμῷ προναπῆ
λαβεῖν ἀέρδην στόματός τε καλλιπρῴρου φυλακὰν
κατασχεῖν 236
φθόγγον ἀραῖον οἴκοις

Στρ. ς'.

238 βίᾳ χαλινῶν τ' ἀναύδῳ μένει.
κρόκου βαφὰς δ' ἐς πέδον χέουσα
ἔβαλλ' ἕκαστον θυτήρων ἀπ' ὄμματος βέλει 240
φιλοίκτῳ πρέπουσά θ' ὡς ἐν γραφαῖς, προσεννέπειν

---

i ∪ – ∪ ⌟ – ∪ – ∪ ⌟ –
i ∪ – ∪ ⏑⏑ ∪ – 5
t – ∪ ⌟ – ∪ – –
ia ∪ – ∪ ⌟ – ⏑ – ∪ – ∪ ⌟ – ⏑ – ∪ ⌟ –
dt – ⏑ – ∪ – –

Stropha ς' v. 238—246 = Antistr. ς' v. 247—255.

i ∪ – ∪ ⌟ – ∪ ⌟ – ∪ –
i ∪ – ∪ ⌟ – ∪ – ∪ ⌟ ⏓
i ∪ – ∪ ⌟ – ∪ ⌟ – ∪ – ∪ – ∪ –

Digitized by Google

θέλουσ', ἐπεὶ πολλάκις
πατρὸς κατ' ἀνδρῶνας εὐτραπέζους
ἔμελψεν· ἁγνᾷ δ' ἀταύρωτος αὐδᾷ πατρός
φίλου τριτόσπονδον εὔποτμον 245
παιᾶνα φίλως ἐτίμα.

Ἀντ. ϛ'.

247 τὰ δ' ἔνθεν οὔτ' εἶδον οὔτ' ἐννέπω·
τέχναι δὲ Κάλχαντος οὐκ ἄκραντοι.
Δίκα δὲ τοῖς μὲν παθοῦσιν μαθεῖν ἐπιρρέπει·
τὸ μέλλον δ' ἐπεὶ γένοιτ' ἂν κλύοις· προχαιρέτω· 250
ἴσον δὲ τῷ προστένειν.
τορὸν γὰρ ἥξει σύνορθρον αὐγαῖς.
πέλοιτο δ' οὖν τἀπὶ τούτοισιν εὔπραξις, ὡς
θέλει τόδ' ἄγχιστον Ἀπίας
γαίας μονόφρουρον ἕρκος. 255

ΕΥΜΕΝΙΔΕΣ.

Orestes Delphos se convertit dei, qui auctor matricidii ei fuerat, fidem implorans; ab Apolline Athenas adire iubetur, ut Minervae atque Atheniensium iudicio absolutus a Furiarum poenis vindicetur. Deae ultrices ubi Clytaemnestrae expostulatione e somno suscitatae Oresten aufugisse senserunt, victimam sibi surreptam, iura sua laesa ac sublata graviter queruntur (*Πρόλογος*, *Πάροδος* prior). Vociferantes Apollo e delubro suo contumeliose exturbat societatem taetrarum virginum

---

i ⏑ ⏓ – ⏑ – ⏑ ⏓ – ⏑ – ⏑ – ⏑ –
i ⏑ – ⏑ ⏓ – ⏑ – 5
i ⏑ – ⏑ ⏓ – ⏑ – ⏑ ⏓ –
i ⏑ – ⏑ ⏓ – ⏑ ⏓ – ⏑ ⏓ – ⏑ –
i ⏑ – ⏑ ⏓ – ⏑ – ⏑ –
ai – – ⏑⏑ – ⏑ ⏓ ⏑̄

Digitized by Google

perhorrescens; inde et ipsae Athenas pergunt matricidae vestigiis instantes. Hunc ut abditum invenere in templo Minervae Poliadis, dira exsecratione constringunt, implacabiles se scelerum vindices lege fati exstitisse profitentes (*Πάροδος* altera).

Ὕμνος δέσμιος [v. 307—396].

Ἄγε δὴ καὶ χορὸν ἅψωμεν, ἐπεί
μοῦσαν στυγεράν
ἀποφαίνεσθαι δεδόκηκεν
λέξαι τε λάχη τὰ κατ' ἀνθρώπους 310
ὡς ἐπινωμᾷ στάσις ἁμά.
*εὐθυδίκαιοι δ' * ἱέμεθ' εἶναι·*
** τὸν μὲν καθαρὰς χεῖρας προνέμοντ'*
οὔτις ἐφέρπει μῆνις ἀφ' ἡμῶν,
ἀσινὴς δ' αἰῶνα διοιχνεῖ· 315
ὅστις δ' ἀλιτών, ὥσπερ ὅδ' ἀνήρ,
χεῖρας φονίας ἐπικρύπτει,
μάρτυρες ὀρθαὶ τοῖσι θανοῦσιν
παραγιγνόμεναι πράκτορες αἵματος
αὐτῷ τελέως ἐφάνημεν. 320

Στρ. α'.

μᾶτερ, ἅ μ' ἔτικτες, ὦ μᾶτερ
Νύξ, ἀλαοῖσι καὶ δεδορκόσιν
ποινάν, κλῦθ'· ὁ Λατοῦς γὰρ ἵνίς μ' ἄτιμον τί-
θησιν, 324

---

v. 307—320 anapaesti.

Stropha α' v. 321—333 = Antistr. α' v. 334—346.

t _ ⏑ _ ⏑ _ ⏑ ⏑ _ _
dt _ ⏑⏑ _ ⏑ _ ⏑ _ ⏑ _
t ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ _ ⏑
t _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ ⏑ _ ⏑ _ ⏑ _ ⏑ _

Digitized by Google

τόνδ' ἀφαιρούμενος πτῶκα, ματρῷον ἅγνισμα κύριον φόνου.
ἐπὶ δὲ τῷ τεθυμένῳ
τόδε μέλος παρακοπά,
παραφορὰ φρενοδαλής, 330
ὕμνος ἐξ Ἐρινύων,
δέσμιος φρενῶν, ἀφόρμικτος, αὐονὰ βροτοῖς.

Ἀντ. α'.

τοῦτο γὰρ λάχος διανταία
Μοῖρ' ἐπέκλωσεν ἐμπέδως ἔχειν, 335
θνατῶν τοῖσιν αὐτουργίαι ξυμπέσωσιν μάταιοι,
τοῖς ὁμαρτεῖν, ὅφρ' ἂν γᾶν ὑπέλθῃ· θανὼν δ' οὐκ ἄγαν ἐλεύθερος. 340
ἐπὶ δὲ τῷ τεθυμένῳ
τόδε μέλος παρακοπά,
παραφορὰ φρενοδαλής,
ὕμνος ἐξ Ἐρινύων,
δέσμιος φρενῶν, ἀφόρμικτος, αὐονὰ βροτοῖς. 346

Στρ. β'.

γιγνομέναισι λάχη τάδ' ἐφ' ἁμὶν ἐκράνθη,

---

c ⏑ ⏑ – ⏑ ⏑ – 5
c ⏑ ⏑ – ⏑ ⏑ –
td ⏑ ⏑ – ⏑ – –
t – ⏑ – ⏑ – ⏑ –
t – ⏑ – ⏑ – ⏑ ⏑ – ⏑ – ⏑ – ⏑ –

Stropha β' v. 347—359 = Antistr. β' v. 360—372.

d – ⏑ – ⏑ – ⏑ – ⏑ – –
d – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏓
d – – – ⏑ – –
d – – – ⏑ – ⏑ – ⏑ – ⏑ – –
t – ⏑ – ⏑ – ⏑ ⏓ 5
c ⏑ ⏑ – ⏑ ⏑ –

Digitized by Google

ἀθανάτων δ' ἀπέχειν † χέρας, οὐδέ τις ἐστί 350
συνδαίτωρ μετάκοινος·
παλλεύκων δὲ πέπλων * ἀγέραστος ἄκληρος ἐτύχθην.
δωμάτων γὰρ εἱλόμαν
ἀνατροπάς· ὅταν Ἄρης 355
τιθασὸς ὢν φίλον ἕλῃ,
ἐπὶ τόν, ὦ, διόμεναι
κρατερὸν * ὄντα περ ὅμως
μαυροῦμεν, νέον αἷμα. 359

Ἀντ. β'.

σπευδομένα δ' ἀφελεῖν τινα τάσδε μερίμνας,
θεῶν δ' ἀτέλειαν ἐμαῖσι δίκαις ἐπικραίνειν,
μηδ' εἰς ἄγκρισιν ἐλθεῖν —
Ζεὺς δ' αἱμοσταγὲς ἀξιόμισον ἔθνος τόδε λέσχας 366
ἃς ἀπηξιώσατο —
μάλα γὰρ οὖν ἁλομένα
ἀνέκαθεν βαρυπεσῆ
καταφέρω ποδὸς ἀκμάν — 370
σφαλερὰ * γὰρ τανυδρόμοις
κῶλα — δύσφορον ἄταν.

Στρ. γ'.

πίπτων δ' οὐκ οἶδεν τόδ' ὑπ' ἄφρονι λύμᾳ·
τοῖον ἐπὶ κνέφας ἀνδρὶ μύσος πεπόταται,

---

c ⏑ ⏑ – ⏑ ⏑ –
c ⏑ ⏑ – ⏑ ⏑ –
c ⏑ ⏑ – ⏑ ⏑ –
td – ⏑ – ⏑ – ⏑ 10

Stropha γ' v. 373—376 = Antistr. γ' v. 377—380.

d – – – – – ⏑ – ⏑ – –
d – ⏑ – ⏑ – ⏑ – ⏑ – –
dt – ⏑ – ⏑ – ⏑ – ⏑ – – – ⏑ – ⏑ – ⏑ ⏓

Digitized by Google

καὶ δνοφεράν τιν' ἀχλὺν κατὰ δώματος αὐδᾶται πολύστονος φάτις. 376

Ἀντ. γ'.

δόξαι τ' ἀνδρῶν καὶ μάλ' ὑπ' αἰθέρι σεμναί
τακόμεναι κατὰ γᾶν μινύθουσιν ἄτιμοι
ἀμετέραις ἐφόδοις μελανείμοσιν ὀρχησμοῖς τ' ἐπιφθόνοις ποδός. 380

Στρ. δ'.

μένει γάρ· εὐμήχανοι δὲ καὶ τέλειοι κακῶν
τε μνήμονες, σεμναί
καὶ δυσπαρήγοροι βροτοῖς,
ἄτιμ' ἀτίετα διόμεναι 385
λάχη θεῶν διχοστατοῦντ' ἀναλίῳ
λάμπᾳ * δυσοδοπαίπαλα δερκομένοισι
καὶ δυσομμάτοις ὁμῶς.

Ἀντ. δ'.

τίς οὖν τάδ' οὐχ ἅζεταί τε καὶ δέδοικεν βροτῶν,
ἐμοῦ κλύων θεσμόν 391
τὸν μοιρόκραντον ἐκ θεῶν
δοθέντα τέλεον; ἔπι δέ μοι
γέρας παλαιόν, οὐδ' ἀτιμίας κυρῶ,
καίπερ * νέρθεν ὑπὸ χθόνα τάξιν ἔχουσα 395
καὶ δυσάλιον κνέφας.

Stropha δ' v. 381—388 = Antistr. δ' v. 389—396.

i ∪ – ∪ ⌋ – ∪ – ∪ – ∪ ⌋ – ∪ – ∪ – ∪ ⌋ ⌋ –
i – – ∪ – ∪ – ∪ –
i ∪ – ∪ ∞ ∪ ∞ ∪ –
i ∪ – ∪ – ∪ – ∪ – ∪ – ∪ –
d – – – ∞ – ∞ – ∞ – ∪ 5
t – ∪ – ∪ – ∪ –

Digitized by Google

II. Aristophanes.

Ἀριστοφάνης, Philippi filius, Atheniensis (*Κυδαθηναιεύς*) quo anno natus sit, quo mortem obierit, a veteribus non est proditum. Fabulas scribere coepit a. 427 a. Chr., Diotimo archonte; in scaenam commissae sunt priores eius comoediae (*Δαιταλῆς* 427, *Βαβυλώνιοι* 426, *Ἀχαρνῆς* 425) non ipsius nomine, sed per Philonidem et Callistratum, quibus poeta etiam posteriorum quasdam edendas permisit. Ipse primam docuit fabulam *Ἱππῆς* anno 424 Lenaeis (cfr. Eq. 547), ultima ab eo in scaenam producta est *Πλοῦτος δεύτερος* archonte Antipatro anno 388.

Aristophanes qui veteris comoediae Atticae praestantissimus scriptor habetur, idem mediae atque novae comoediae prima exempla proposuisse censendus est iis fabulis, quas extrema aetate confecit, ubi tam artis scaenicae quam reipublicae condicione mutata *chorus . . . obticuit sublato iure nocendi* (Hor. epist. II 3, 283 sq.); ex quo genere sunt *Ἐκκλησιάζουσαι* et *Πλοῦτος*. — Per quadraginta fere annos (inde ab a. 427 usque ad a. 388) quadraginta quattuor comoedias scripsisse traditur, ex quibus ad nostram aetatem pervenere undecim hae: *Ἀχαρνῆς* (acta a. 425), *Ἱππῆς* (424), *Νεφέλαι* (423), *Σφῆκες* (422), *Εἰρήνη* (421), *Ὄρνιθες* (414), *Λυσιστράτη* (411), *Θεσμοφοριάζουσαι* (410), *Βάτραχοι* (405), *Ἐκκλησιάζουσαι* (392), *Πλοῦτος* (388).

ΙΠΠΗΣ.

Ὑπόθεσις.

Ὁ σκοπὸς αὐτῷ πρὸς τὸ καθελεῖν Κλέωνα. οὗτος γὰρ βυρσοπώλης ὢν ἐκράτει τῶν Ἀθηναίων ἐκ προφάσεως τοιαύτης. Ἀθηναῖοι πόλιν Πύλον, λεγομένην Σφακτηρίαν, ἐπολιόρκουν διὰ Δημοσθένους στρατηγοῦ καὶ Νικίου· ὧν στρατηγῶν χρονιζάντων ἐδυσχέραινον οἱ Ἀθηναῖοι. καὶ εἰς ἐκκλησίαν συνελθόντων αὐτῶν καὶ ἀδημονούντων, Κλέων τις βυρσοπώλης ἀναστὰς ὑπέσχετο δεσμίους φέρειν τοὺς ὑπεναντίους εἴσω εἴκοσιν ἡμερῶν, εἰ στρατηγὸς αἱρεθείη· ὅπερ καὶ γέγονε. κατὰ τὰς ὑπο-

Digitized by Google

σχέσεις οὖν ἐστρατήγει, κυκῶν τὴν πόλιν. ἐφ' οἷς μὴ ἐνεγκὼν Ἀριστοφάνης καθίησι τὸ τῶν Ἱππέων δρᾶμα δι' αὐτοῦ, ἐπεὶ τῶν σκευοποιῶν οὐδεὶς ἐπλάσατο τὸ τοῦ Κλέωνος πρόσωπον διὰ φόβον. καὶ τὰ μὲν πρῶτα κύπτει φοβούμενος· εἶτα προφανεὶς αὐτὸς ἀνεδίδαξε τὸ δρᾶμα.

Ἔοικεν ὁ προλογίζων εἶναι Δημοσθένης, ὃς ἐκεκμήκει περὶ τὴν Πύλου πολιορκίαν, ἀφῃρέθη δὲ τὴν στρατηγίαν ὑπὸ Κλέωνος, ὑποσχομένου τότε τοῖς Ἀθηναίοις παραστήσασθαι τὴν Πύλον εἴσω εἴκοσιν ἡμερῶν· ὃ καὶ κατώρθωσε διὰ τὸ πλεῖστα τῆς ἁλώσεως προπεπονῆσθαι Δημοσθένει. ἔοικε δὲ ὡς ἐπὶ οἰκίας δεσποτικῆς ποιεῖσθαι τὸν λόγον· εἴη δ' ἂν δεσπότης ὁ Δῆμος, οἰκία ἡ πόλις. οἰκέται δὲ δύο τοῦ Δήμου προλογίζουσι, κακῶς πάσχοντες ὑπὸ Κλέωνος. ὁ δὲ χορὸς ἐκ τῶν ἱππέων ἐστίν, οἳ καὶ ἐζημίωσαν τὸν Κλέωνα πέντε ταλάντοις ἐπὶ δωροδοκίᾳ ἁλόντα. λέγουσι δὲ τῶν οἰκετῶν τὸν μὲν εἶναι Δημοσθένην, τὸν δὲ Νικίαν, ἵνα ὦσι δημηγόροι οἱ δύο.

Ἐδιδάχθη τὸ δρᾶμα ἐπὶ Στρατοκλέους ἄρχοντος (a. 424 a. Chr.) δημοσίᾳ εἰς Λήναια δι' αὐτοῦ τοῦ Ἀριστοφάνους. πρῶτος ἐνίκα· δεύτερος Κρατῖνος Σατύροις· τρίτος Ἀριστομένης Τλοφόροις.

Ἰστέον ὅτι εἰς τέτταρα μέρη διῃρητο ὁ δῆμος τῶν Ἀθηναίων, εἰς πεντακοσιομεδίμνους, εἰς ἱππέας, εἰς ζευγίτας καὶ εἰς θῆτας.

In scaenam, qua Atheniensium forum cum aedibus *Demi* exhibetur, prodeunt duo servi, alter Niciae, alter Demosthenis persona indutus. Conqueruntur miseram sibi servitutem impositam a nequam servo Paphlagone h. e. Cleone Cleaeneti filio. Namque is nuper in Populi familiam receptus senem hebescentem artificiis suis ita elusit, ut arbitrio vafri assentatoris omnia permitterentur. Hac igitur potentia ad suum quaestum cum conservorum calamitate insolenter abutitur.

Πρόλογος [v. 1—246].

ΔΗΜ. Ἰατταταιὰξ τῶν κακῶν, ἰατταταῖ.
κακῶς Παφλαγόνα τὸν νεώνητον κακόν

Digitized by Google

αὐταῖσι βουλαῖς ἀπολέσειαν οἱ θεοί.
ἐξ οὗ γὰρ εἰσήρρησεν εἰς τὴν οἰκίαν,
πληγὰς ἀεὶ προστρίβεται τοῖς οἰκέταις. 5
NIK. κάκιστα δῆθ' οὗτός γε πρῶτος Παφλαγόνων
αὐταῖς διαβολαῖς. *ΔΗΜ.* ὦ κακόδαιμον, πῶς ἔχεις;
NIK. κακῶς καθάπερ σύ. *ΔΗΜ.* δεῦρο δὴ πρόσελθ', ἵνα
ξυναυλίαν κλαύσωμεν, Οὐλύμπου νόμον.
ΔΗΜ. *NIK.* μὺ μῦ μὺ μῦ μὺ μῦ μὺ μῦ μὺ μῦ μὺ μῦ.
ΔΗΜ. τί κινυρόμεθ' ἄλλως; οὐκ ἐχρῆν ζητεῖν τινα 11
σωτηρίαν νῷν, ἀλλὰ μὴ κλάειν ἔτι;
(Fugere cupiunt, at metus est ne deprehensi plectantur.)
NIK. κράτιστα τοίνυν τῶν παρόντων ἐστὶ νῷν, 30
θεῶν ἰόντε προσπεσεῖν του πρὸς βρέτας.
ΔΗΜ. ποῖον βρέτας * φῄς; ἑτεὸν ἡγεῖ γὰρ θεούς;
NIK. ἔγωγε. *ΔΗΜ.* ποίῳ χρώμενος τεκμηρίῳ;
NIK. ὁτιὴ θεοῖσιν ἐχθρός εἰμ'. οὐκ εἰκότως;
ΔΗΜ. εὖ προσβιβάζεις μ'· ἀλλ' ἑτέρᾳ πῃ σκεπτέον. 35
βούλει τὸ πρᾶγμα τοῖς θεαταῖσιν φράσω;
NIK. οὐ χεῖρον· ἓν δ' αὐτοὺς παραιτησώμεθα,
ἐπίδηλον ἡμῖν τοῖς προσώποισιν ποιεῖν,
ἢν τοῖς ἔπεσι χαίρωσι καὶ τοῖς πράγμασιν.
ΔΗΜ. λέγοιμ' ἂν ἤδη. νῷν γάρ ἐστι δεσπότης 40
ἄγροικος ὀργήν, κυαμοτρώξ, ἀκράχολος,
Δῆμος Πυκνίτης, δύσκολον γερόντιον
ὑπόκωφον. οὗτος τῇ προτέρᾳ νουμηνίᾳ
ἐπρίατο δοῦλον, βυρσοδέψην Παφλαγόνα,
πανουργότατον καὶ διαβολώτατόν τινα. 45
οὗτος καταγνοὺς τοῦ γέροντος τοὺς τρόπους,

Digitized by Google

ὁ βυρσοπαφλαγών, ὑποπεσὼν τὸν δεσπότην
ᾔκαλλ', ἐθώπευ', ἐκολάκευ', ἐξηπάτα
κοσκυλματίοις ἄκροισι, τοιαυτὶ λέγων·
ὦ Δῆμε, λοῦσαι πρῶτον ἐκδικάσας μίαν, 50
ἐνθοῦ, ῥόφησον, ἔντραγ', ἔχε τριώβολον.
βούλει παραθῶ σοι δόρπον; εἶτ' ἀναρπάσας
ὅ τι ἄν τις ἡμῶν σκευάσῃ, τῷ δεσπότῃ
Παφλαγὼν κεχάρισται τοῦτο. καὶ πρώην γ' ἐμοῦ
μᾶζαν μεμαχότος ἐν Πύλῳ Λακωνικήν, 55
πανουργότατά πως παραδραμὼν ὑφαρπάσας
αὐτὸς παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.
ἡμᾶς δ' ἀπελαύνει κοὐκ ἐᾷ τὸν δεσπότην
ἄλλον θεραπεύειν, ἀλλὰ βυρσίνην ἔχων
δειπνοῦντος ἑστὼς ἀποσοβεῖ τους ῥήτορας. 60
ᾄδει δὲ χρησμούς· ὁ δὲ γέρων σιβυλλιᾷ.
ὁ δ' αὐτὸν ὡς ὁρᾷ μεμακκοακότα,
τέχνην πεποίηται. τοὺς γὰρ ἔνδον ἄντικρυς
ψευδῆ διαβάλλει· κᾆτα μαστιγούμεθα
ἡμεῖς· Παφλαγὼν δὲ περιθέων τοὺς οἰκέτας 65
αἰτεῖ, ταράττει, δωροδοκεῖ, λέγων ταδί·
ὁρᾶτε τὸν Ὕλαν δι' ἐμὲ μαστιγούμενον;
εἰ μή μ' ἀναπείσετ', ἀποθανεῖσθε τήμερον.
ἡμεῖς δὲ δίδομεν· εἰ δὲ μή, πατούμενοι
ὑπὸ τοῦ γέροντος ὀκταπλάσια χέζομεν. 70
νῦν οὖν ἀνύσαντε φροντίσωμεν, ὦ 'γαθέ,
ποίαν ὁδὸν νὼ τρεπτέον καὶ πρὸς τίνα.

ΝΙΚ. κράτιστ' ἐκείνην τὴν μόλωμεν, ὦ 'γαθέ.

ΔΗΜ. ἀλλ' οὐχ οἷόν τε τὸν Παφλαγόν' οὐδὲν λαθεῖν·
ἐφορᾷ γὰρ οὗτος πάντ'. ἔχει γὰρ τὸ σκέλος 75
τὸ μὲν ἐν Πύλῳ, τὸ δ' ἕτερον ἐν τῇκκλησίᾳ·

Digitized by Google

τοσόνδε δ' αὐτοῦ βῆμα διαβεβηκότος
ὁ πρωκτός ἐστιν αὐτόχρημ' ἐν Χαόσιν,
τῷ χεῖρ' ἐν Αἰτωλοῖς, ὁ νοῦς δ' ἐν Κλωπιδῶν.
ΝΙΚ. κράτιστον οὖν νῷν ἀποθανεῖν. ΔΗΜ. ἀλλὰ σκόπει, 80
ὅπως ἂν ἀποθάνωμεν ἀνδρικώτατα.
ΝΙΚ. πῶς δῆτα, πῶς γένοιτ' ἂν ἀνδρικώτατα;
βέλτιστον ἡμῖν αἷμα ταύρειον πιεῖν·
ὁ Θεμιστοκλέους γὰρ θάνατος αἱρετώτερος.
ΔΗΜ. μὰ Δί', ἀλλ' ἄκρατον οἶνον ἀγαθοῦ δαίμονος· 85
ἴσως γὰρ ἂν χρηστόν τι βουλευσαίμεθα.
ΝΙΚ. ἰδού γ' ἄκρατον. περὶ πότου γοῦν ἐστί σοι;
πῶς δ' ἂν μεθύων χρηστόν τι βουλεύσαιτ' ἀνήρ;
ΔΗΜ. ἄληθες, οὗτος; κρουνοχυτρολήραιος εἶ.
οἶνον σὺ τολμᾷς εἰς ἐπίνοιαν λοιδορεῖν; 90
οἴνου γὰρ εὕροις ἄν τι πρακτικώτερον;
ὁρᾷς, ὅταν πίνωσιν ἄνθρωποι, τότε
πλουτοῦσι, διαπράττουσι, νικῶσιν δίκας,
εὐδαιμονοῦσιν, ὠφελοῦσι τοὺς φίλους.
ἀλλ' ἐξένεγκέ μοι ταχέως οἴνου χόα, 95
τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν.
ΝΙΚ. οἴμοι, τί ποθ' ἡμᾶς ἐργάσει τῷ σῷ πότῳ;
ΔΗΜ. ἀγάθ'. ἀλλ' ἔνεγκ'· ἐγὼ δὲ κατακλινήσομαι.
ἢν γὰρ μεθυσθῶ, πάντα ταυτὶ καταπάσω
βουλευματίων καὶ γνωμιδίων καὶ νοιδίων. 100
ΝΙΚ. ὡς εὐτυχῶς ὅτι οὐκ ἐλήφθην ἔνδοθεν
κλέπτων τὸν οἶνον. ΔΗΜ. εἰπέ μοι, Παφλαγὼν τί δρᾷ;
ΝΙΚ. ἐπίπαστα λείξας δημιόπραθ' ὁ βάσκανος
ῥέγκει μεθύων ἐν ταῖσι βύρσαις ὕπτιος.

Digitized by Google

ΔΗΜ. ἴθι νυν, ἄκρατον ἐγκάναξόν μοι πολύν 105
σπονδήν. *ΝΙΚ.* λαβὲ δὴ καὶ σπεῖσον ἀγαθοῦ δαίμονος.
ΔΗΜ. ἕλχ', ἕλκε τὴν τοῦ δαίμονος τοῦ Πραμνίου.
ὦ δαῖμον ἀγαθέ, σὸν τὸ βούλευμ', οὐκ ἐμόν.
ΝΙΚ. εἴπ', ἀντιβολῶ, τί ἔστι; *ΔΗΜ.* τοὺς χρησμοὺς ταχύ
κλέψας ἔνεγκε τοῦ Παφλαγόνος ἔνδοθεν, 110
ἕως καθεύδει. *ΝΙΚ.* ταῦτ'. ἀτὰρ τοῦ δαίμονος
δέδοιχ' ὅπως μὴ τεύξομαι κακοδαίμονος.
ΔΗΜ. φέρε νυν ἐγὼ 'μαυτῷ προσαγάγω τὸν χόα.
[τὸν νοῦν ἵν' ἄρδω καὶ λέγω τι δεξιόν.]
ΝΙΚ. ὡς μεγάλ' ὁ Παφλαγὼν πέρδεται καὶ ῥέγκεται, 115
ὥστ' ἔλαθον αὐτὸν τὸν ἱερὸν χρησμὸν λαβών,
ὅνπερ μάλιστ' ἐφύλαττεν. *ΔΗΜ.* ὦ σοφώτατε,
φέρ' αὐτόν, ἵν' ἀναγνῶ· σὺ δ' ἔγχεον πιεῖν
ἀνύσας τι. φέρ' ἴδω τί ἄρ' ἔνεστιν αὐτόθι.
ὦ λόγια. δός μοι, δὸς τὸ ποτήριον ταχύ. 120
ΝΙΚ. ἰδού· τί φησ' ὁ χρησμός; *ΔΗΜ.* ἑτέραν ἔγχεον.
ΝΙΚ. ἐν τοῖς λογίοις ἔνεστιν ἑτέραν ἔγχεον;
ΔΗΜ. ὦ Βάκι. *ΝΙΚ.* τί ἔστι; *ΔΗΜ.* δὸς τὸ ποτήριον ταχύ.
ΝΙΚ. πολλῷ γ' ὁ Βάκις ἐχρῆτο τῷ ποτηρίῳ. 124
ΔΗΜ. ὦ μιαρὲ Παφλαγών, ταῦτ' ἄρ' ἐφυλάττου πάλαι
τὸν περὶ σεαυτοῦ χρησμὸν ὀρρωδῶν; *ΝΙΚ.* τιή;
ΔΗΜ. ἐνταῦθ' ἔνεστιν, αὐτὸς ὡς ἀπόλλυται.
ΝΙΚ. καὶ πῶς; *ΔΗΜ.* ὅπως; ὁ χρησμὸς ἄντικρυς λέγει,
ὡς πρῶτα μὲν στυππειοπώλης γίγνεται,
ὃς πρῶτος ἕξει τῆς πόλεως τὰ πράγματα. 130
ΝΙΚ. εἶς οὑτοσὶ πώλης. τί τοὐντεῦθεν; λέγε.

Digitized by Google

ΔΗΜ. μετὰ τοῦτον αὖθις προβατοπώλης δεύτερος.
ΝΙΚ. δύο τώδε πώλα. καὶ τί τόνδε χρὴ παθεῖν;
ΔΗΜ. κρατεῖν, ἕως ἕτερος ἀνὴρ βδελυρώτερος
αὐτοῦ γένοιτο· μετὰ δὲ ταῦτ' ἀπόλλυται. 135
ἐπιγίγνεται γὰρ βυρσοπώλης ὁ Παφλαγών,
ἅρπαξ, κεκράκτης, Κυκλοβόρου φωνὴν ἔχων.
ΝΙΚ. τὸν προβατοπώλην ἦν ἄρ' ἀπολέσθαι χρεών
ὑπὸ βυρσοπώλου; ΔΗΜ. νὴ Δί'. ΝΙΚ. οἴμοι δείλαιος.
πόθεν οὖν ἂν ἔτι γένοιτο πώλης εἷς μόνος; 140
ΔΗΜ. ἔτ' ἔστιν εἷς, ὑπερφυᾶ τέχνην ἔχων.
ΝΙΚ. εἴπ', ἀντιβολῶ, τίς ἐστιν; ΔΗΜ. εἴπω; ΝΙΚ. νὴ Δία.
ΔΗΜ. ἀλλαντοπώλης ἔσθ' ὁ τοῦτον ἐξελῶν.
ΝΙΚ. ἀλλαντοπώλης; ὦ Πόσειδον τῆς τέχνης.
φέρε ποῦ τὸν ἄνδρα τοῦτον ἐξευρήσομεν; 145
ΔΗΜ. ζητῶμεν αὐτόν. ΝΙΚ. ἀλλ' ὁδὶ προσέρχεται
ὥσπερ κατὰ θεῖον εἰς ἀγοράν. ΔΗΜ. ὦ μακάριε
ἀλλαντοπῶλα, δεῦρο δεῦρ', ὦ φίλτατε.
ἀνάβαινε σωτὴρ τῇ πόλει καὶ νῷν φανείς.
ΑΛΛΑΝΤΟΠΩΛΗΣ. τί ἔστι; τί με καλεῖτε; ΔΗΜ. δεῦρ' ἔλθ', ἵνα πύθῃ 150
ὡς εὐτυχὴς εἶ καὶ μεγάλως εὐδαιμονεῖς.
ΝΙΚ. ἴθι δή, κάθελ' αὐτοῦ τοὐλεὸν καὶ τοῦ θεοῦ
τὸν χρησμὸν ἀναδίδαξον αὐτὸν ὡς ἔχει·
ἐγὼ δ' ἰὼν προσκέψομαι τὸν Παφλαγόνα.
ΔΗΜ. ἄγε δὴ σὺ κατάθου πρῶτα τὰ σκεύη χαμαί· 155
ἔπειτα τὴν γῆν πρόσκυσον καὶ τοὺς θεούς.
ΑΛΛ. ἰδού· τί ἔστιν; ΔΗΜ. ὦ μακάρι', ὦ πλούσιε,
ὦ νῦν μὲν οὐδείς, αὔριον δ' ὑπέρμεγας·

Digitized by Google

ὦ τῶν Ἀθηνέων ταγὲ τῶν εὐδαιμόνων.
ΑΛΛ. τί μ', ὦ 'γάθ', οὐ πλύνειν ἐᾷς τὰς κοιλίας 160
πωλεῖν τε τοὺς ἀλλᾶντας, ἀλλὰ καταγελᾷς;
ΔΗΜ. ὦ μῶρε, ποίας κοιλίας; δευρὶ βλέπε.
τὰς στίχας ὁρᾷς τὰς τῶνδε τῶν λαῶν; ΑΛΛ. ὁρῶ.
ΔΗΜ. τούτων ἁπάντων αὐτὸς ἀρχέλας ἔσει
καὶ τῆς ἀγορᾶς καὶ τῶν λιμένων καὶ τῆς πυκνός·
βουλὴν πατήσεις καὶ στρατηγοὺς κλαστάσεις, 166
δήσεις, φυλάξεις, ἐν πρυτανείῳ λαικάσει.
ΑΛΛ. ἐγώ; ΔΗΜ. σὺ μέντοι· κοὐδέπω γε πάνθ' ὁρᾷς.
ἀλλ' ἐπανάβηθι κἀπὶ τοὐλεὸν τοδί
καὶ κάτιδε τὰς νήσους ἁπάσας ἐν κύκλῳ. 170
ΑΛΛ. καθορῶ. ΔΗΜ. τί δαί; τἀμπόρια καὶ τὰς ὁλκάδας;
ΑΛΛ. ἔγωγε. ΔΗΜ. πῶς οὖν οὐ μεγάλως εὐδαιμονεῖς;
ἔτι νῦν τὸν ὀφθαλμὸν παράβαλ' εἰς Καρίαν
τὸν δεξιόν, τὸν δ' ἕτερον εἰς Καρχηδόνα.
ΑΛΛ. εὐδαιμονήσω δ', εἰ διαστραφήσομαι; 175
ΔΗΜ. οὔκ, ἀλλὰ διὰ σοῦ ταῦτα πάντα πέρναται.
γίγνει γάρ, ὡς ὁ χρησμὸς οὑτοσὶ λέγει,
ἀνὴρ μέγιστος. ΑΛΛ. εἰπέ μοι καὶ πῶς ἐγώ
ἀλλαντοπώλης ὢν ἀνὴρ γενήσομαι.
ΔΗΜ. δι' αὐτὸ γάρ τοι τοῦτο καὶ γίγνει μέγας, 180
ὅτιὴ πονηρὸς κἀξ ἀγορᾶς εἶ καὶ θρασύς.
ΑΛΛ. οὐκ ἀξιῶ 'γὼ 'μαυτὸν ἰσχύειν μέγα.
ΔΗΜ. οἴμοι, τί ποτ' ἔσθ' ὅτι σαυτὸν οὐ φῇς ἄξιον;
ξυνειδέναι τί μοι δοκεῖς σαυτῷ καλόν.
μῶν ἐκ καλῶν εἶ κἀγαθῶν; ΑΛΛ. μὰ τοὺς θεούς, 185
εἰ μὴ 'κ πονηρῶν γ'. ΔΗΜ. ὦ μακάριε τῆς τύχης,

Digitized by Google

ὅσον πέπονθας ἀγαθὸν εἰς τὰ πράγματα.
ΑΛΛ. ἀλλ', ὦ 'γάθ', οὐδὲ μουσικὴν ἐπίσταμαι
πλὴν γραμμάτων, καὶ ταῦτα μέντοι κακὰ κακῶς.
ΔΗΜ. τοντὶ μόνον σ' ἔβλαψεν, ὅτι καὶ κακὰ κακῶς. 190
ἡ δημαγωγία γὰρ οὐ πρὸς μουσικοῦ
ἔτ' ἐστὶν ἀνδρὸς οὐδὲ χρηστοῦ τοὺς τρόπους,
ἀλλ' εἰς ἀμαθῆ καὶ βδελυρόν. ἀλλὰ μὴ παρῇς
ἃ σοι διδόασ' ἐν τοῖς λογίοισιν οἱ θεοί.
ΑΛΛ. πῶς δῆτά φησ' ὁ χρησμός; ΔΗΜ. εὖ νὴ τοὺς θεούς 195
καὶ ποικίλως πως καὶ σοφῶς ᾐνιγμένος.
Ἀλλ' ὁπόταν μάρψῃ βυρσαίετος ἀγκυλοχήλης
γαμφηλῇσι δράκοντα κοάλεμον αἱματοπώτην,
δὴ τότε Παφλαγόνων μὲν ἀπόλλυται ἡ σκορο-
δάλμη,
κοιλιοπώλῃσιν δὲ θεὸς μέγα κῦδος ὀπάζει, 200
αἶκα μὴ πωλεῖν ἀλλᾶντας μᾶλλον ἕλωνται.
ΑΛΛ. πῶς οὖν πρὸς ἐμὲ ταῦτ' ἐστίν; ἀναδίδασκέ με.
ΔΗΜ. βυρσαίετος μὲν ὁ Παφλαγών ἐσθ' οὑτοσί.
ΑΛΛ. τί δ' ἀγκυλοχήλης ἐστίν; ΔΗΜ. αὐτό που λέγει,
ὅτι ἀγκύλαις ταῖς χερσὶν ἁρπάζων φέρει. 205
ΑΛΛ. ὁ δράκων δὲ πρὸς τί; ΔΗΜ. τοῦτο περιφανέ-
στατον.
ὁ δράκων γάρ ἐστι μακρὸν ὅ τ' ἀλλᾶς αὖ μακρόν·
εἶθ' αἱματοπώτης ἔσθ' ὅ τ' ἀλλᾶς χὠ δράκων.
τὸν οὖν δράκοντά φησι τὸν βυρσαίετον
ἤδη κρατήσειν, αἴ κε μὴ θαλφθῇ κόλοις. 210
ΑΛΛ. τὰ μὲν λόγι' αἰκάλλει με· θαυμάζω δ' ὅπως
τὸν δῆμον οἷός τ' ἐπιτροπεύειν εἰμ' ἐγώ.

Digitized by Google

ΔΗΜ. φαυλότατον ἔργον· ταῦθ' ἅπερ ποιεῖς ποίει.
τάραττε καὶ χόρδευ' ὁμοῦ τὰ πράγματα
ἅπαντα καὶ τὸν δῆμον ἀεὶ προσποιοῦ 215
ὑπογλυκαίνων ῥηματίοις μαγειρικῶς.
τὰ δ' ἄλλα σοι πρόσεστι δημαγωγικά,
φωνὴ μιαρά, γέγονας κακῶς, ἀγόραιος εἶ,
ἔχεις ἅπαντα πρὸς πολιτείαν ἃ δεῖ·
χρησμοί τε συμβαίνουσι καὶ τὸ Πυθικόν. 220
ἀλλὰ στεφανοῦ καὶ σπένδε τῷ Κοαλέμῳ·
χὤπως ἀμυνεῖ τὸν ἄνδρα. ΑΛΛ. καὶ τίς ξύμ-
μαχος
γενήσεταί μοι; καὶ γὰρ οἵ τε πλούσιοι
δεδίασιν αὐτὸν ὅ τε πένης βδύλλει λεώς.
ΔΗΜ. ἀλλ' εἰσὶν ἱππῆς ἄνδρες ἀγαθοὶ χίλιοι 225
μισοῦντες αὐτόν, οἳ βοηθήσουσί σοι,
καὶ τῶν πολιτῶν οἱ καλοί τε κἀγαθοί
καὶ τῶν θεατῶν ὅστις ἐστὶ δεξιός
κἀγὼ μετ' αὐτῶν χὠ θεὸς ξυλλήψεται.
καὶ μὴ δέδιθ', οὐ γάρ ἐστιν ἐξῃκασμένος· 230
ὑπὸ τοῦ δέους γὰρ αὐτὸν οὐδεὶς ἤθελε
τῶν σκευοποιῶν εἰκάσαι. πάντως γε μήν
γνωσθήσεται· τὸ γὰρ θέατρον δεξιόν.
ΑΛΛ. οἴμοι κακοδαίμων, ὁ Παφλαγὼν ἐξέρχεται.
ΚΛΕΩΝ. οὔ τοι μὰ τοὺς δώδεκα θεοὺς χαιρήσετον, 235
ὁτιὴ 'πὶ τῷ δήμῳ ξυνόμνυτον πάλαι.
τουτὶ τί δρᾷ τὸ Χαλκιδικὸν ποτήριον;
οὐκ ἔσθ' ὅπως οὐ Χαλκιδέας ἀφίστατον.
ἀπολεῖσθον, ἀποθανεῖσθον, ὦ μιαρωτάτω.
ΔΗΜ. οὗτος, τί φεύγεις; οὐ μενεῖς; ὦ γεννάδα 240
ἀλλαντοπῶλα, μὴ προδῷς τὰ πράγματα.

Digitized by Google

ἄνδρες ἱππῆς, παραγένεσθε· νῦν ὁ καιρός. ὦ Σίμων,
ὦ Παναίτι', οὐκ ἐλᾶτε πρὸς τὸ δεξιὸν κέρας;
ἄνδρες ἐγγύς· ἀλλ' ἀμύνου κἀπαναστρέφου πάλιν.
ὁ κονιορτὸς δῆλος αὐτῶν ὡς ὁμοῦ προσκειμένων. 245
ἀλλ' ἀμύνου καὶ δίωκε καὶ τροπὴν αὐτοῦ ποιοῦ.

* * *

Altercatio oritur acerrima isiciario cum Paphlagone; qui quoniam adversarium sibi non imparem exstitisse sentit, in senatum se proripit ibi certe aemulum circumveniri posse confisus. Eum vestigiis consequitur allantopola. Uterque simulac scaenam reliquit, ab choro ad spectatores converso recitatur

Παράβασις [v. 498—610],

cuius legitimae partes hae sunt septem: κομμάτιον, ἀνάπαιστοι ἢ παράβασις, πνῖγος sive μακρόν, ᾠδή (στροφή), ἐπίρρημα, ἀντῳδή (ἀντιστροφή), ἀντεπίρρημα.

Κομμάτιον.

ΧΟΡ. Ἀλλ' ἴθι χαίρων καὶ πράξειας
κατὰ νοῦν τὸν ἐμόν, καί σε φυλάττοι
Ζεὺς ἀγοραῖος· καὶ νικήσας 500
αὖθις ἐκεῖθεν πάλιν ὡς ἡμᾶς
ἔλθοις στεφάνοις κατάπαστος.
ὑμεῖς δ' ἡμῖν πρόσχετε τὸν νοῦν
τοῖς ἀναπαίστοις,
ὦ παντοίας ἤδη μούσης 505
πειραθέντες καθ' ἑαυτούς.

---

v. 242—246 tetrametri trochaici catalectici.
v. 498—506 duo systemata anapaestica.

Digitized by Google

Παράβασις.

εἰ μέν τις ἀνὴρ τῶν ἀρχαίων κωμῳδοδιδάσκαλος ἡμᾶς
ἠνάγκαζεν λέξοντας ἔπη πρὸς τὸ θέατρον παραβῆναι,
οὐκ ἂν φαύλως ἔτυχεν τούτου· νῦν δ' ἄξιός ἐσθ' ὁ ποιητής,
ὅτι τοὺς αὐτοὺς ἡμῖν μισεῖ τολμᾷ τε λέγειν τὰ δίκαια 510
καὶ γενναίως πρὸς τὸν Τυφῶ χωρεῖ καὶ τὴν ἐριώλην.
ἃ δὲ θαυμάζειν ὑμῶν φησιν πολλοὺς αὐτῷ προσιόντας
καὶ βασανίζειν, ὡς οὐχὶ πάλαι χορὸν αἰτοίη καθ' ἑαυτόν,
ἡμᾶς ὑμῖν ἐκέλευε φράσαι περὶ τούτου. φησὶ γὰρ ἀνήρ
οὐχ ὑπ' ἀνοίας τοῦτο πεπονθὼς διατρίβειν, ἀλλὰ νομίζων 515
κωμῳδοδιδασκαλίαν εἶναι χαλεπώτατον ἔργον ἁπάντων·
πολλῶν γὰρ δὴ πειρασάντων αὐτὴν ὀλίγοις χαρίσασθαι·
ὑμᾶς τε πάλαι διαγιγνώσκων ἐπετείους τὴν φύσιν ὄντας
καὶ τοὺς προτέρους τῶν ποιητῶν ἅμα τῷ γήρᾳ προδιδόντας·
τοῦτο μὲν εἰδὼς ἔπαθε Μάγνης ἅμα ταῖς πολιαῖς κατιούσαις, 520
ὃς πλεῖστα χορῶν τῶν ἀντιπάλων νίκης ἔστησε τροπαῖα·
πάσας δ' ὑμῖν φωνὰς ἱεὶς καὶ ψάλλων καὶ πτερυγίζων
καὶ λυδίζων καὶ ψηνίζων καὶ βαπτόμενος βατραχείοις
οὐκ ἐξήρκεσεν, ἀλλὰ τελευτῶν ἐπὶ γήρως, οὐ γὰρ ἐφ' ἥβης,

---

v. 507—546 tetrametri anapaestici catal.

Digitized by Google

ἐξεβλήθη, πρεσβύτης ὢν ὅτι τοῦ σκώπτειν ἀπελείφθη·
εἶτα Κρατίνου μεμνημένος, ὃς πολλῷ † ῥεύσας ποτ' ἐπαίνῳ 526
διὰ τῶν ἀφελῶν πεδίων ἔρρει καὶ τῆς στάσεως παρασύρων
ἐφόρει τὰς δρῦς καὶ τὰς πλατάνους καὶ τοὺς ἐχθροὺς προθελύμνους·
ᾖσαι δ' οὐκ ἦν ἐν ξυμποσίῳ πλὴν Δωροῖ συκοπέδιλε
καὶ Τέκτονες εὐπαλάμων ὕμνων· οὕτως ἤνθησεν ἐκεῖνος. 530
νυνὶ δ' ὑμεῖς αὐτὸν ὁρῶντες παραληροῦντ' οὐκ ἐλεεῖτε
ἐκπιπτουσῶν τῶν ἠλέκτρων καὶ τοῦ τόνου οὐκ ἔτ' ἐνόντος
τῶν θ' ἁρμονιῶν διαχασκουσῶν· ἀλλὰ γέρων ὢν περιέρρει,
ὥσπερ Κοννᾶς, στέφανον μὲν ἔχων αὖον, δίψῃ δ' ἀπολωλώς·
ὃν χρῆν διὰ τὰς προτέρας νίκας πίνειν ἐν τῷ πρυτανείῳ 535
καὶ μὴ ληρεῖν, ἀλλὰ θεᾶσθαι λιπαρὸν παρὰ τῷ Διονύσου.
οἷας δὲ Κράτης ὀργὰς ὑμῶν ἠνέσχετο καὶ στυφελιγμούς·
ὃς ἀπὸ σμικρᾶς δαπάνης ὑμᾶς ἀριστίζων ἀπέπεμπεν,
ἀπὸ κραμβοτάτου στόματος μάττων ἀστειοτάτας ἐπινοίας·
χοὗτος μέντοι μόνος ἀντήρκει, τοτὲ μὲν πίπτων, τοτὲ δ' οὐχί. 540
ταῦτ' ὀρρωδῶν διέτριβεν ἀεί· καὶ πρὸς τούτοισιν ἔφασκεν

Digitized by Google

ἐρέτην χρῆναι πρῶτα γενέσθαι, πρὶν πηδαλίοις ἐπι-
χειρεῖν,
κᾆτ' ἐντεῦθεν πρῳρατεῦσαι καὶ τοὺς ἀνέμους δια-
θρῆσαι,
κᾆτα κυβερνᾶν αὐτὸν ἑαυτῷ. τούτων οὖν εἵνεκα πάν-
των,
ὅτι σωφρονικῶς κοὐκ ἀνοήτως ἐσπηδήσας ἐφλυάρει, 545
αἵρεσθ' αὐτῷ πολὺ τὸ ῥόθιον, παραπέμψατ' ἐφ' ἕν-
δεκα κώπαις

Πνίγος.

θόρυβον χρηστὸν ληναΐτην,
ἵν' ὁ ποιητὴς ἀπίῃ χαίρων
κατὰ νοῦν πράξας,
φαιδρὸς λάμποντι μετώπῳ. 550

Στροφή.

ἵππι' ἄναξ Πόσειδον, ᾧ
χαλκοκρότων ἵππων κτύπος
καὶ χρεμετισμὸς ἀνδάνει
καὶ κυανέμβολοι θοαί
μισθοφόροι τριήρεις 555
μειρακίων θ' ἅμιλλα λαμ-
πρυνομένων ἐν ἅρμασιν

---

v. 547—550 systema anapaesticum.

Stropha v. 551—564 = Antistr. v. 581—594.

dt _ ⏑⏑ _ ⏒ _ ⏑ _ glyconeus primus quater positus.
dt _ ⏑⏑ _ ⏑ _ _
dt _ ⏑⏑ _ ⏑ _ ⏑ _ iteratur.
dt _ ⏑⏑ _ ⏑ _ _
td _ _ _ ⏑⏑ ⏑ _ ⏑⏑ _ ⏒ repetitur.
td _ ⏒ _ ⏑⏑ _ ⏑ _ glycon. ter pos.
td _ _ _ ⏑⏑ _ ⏒

Digitized by Google

καὶ βαρυδαιμονούντων,
δεῦρ' ἔλθ' ἐς χορόν, ὦ χρυσοτρίαιν', ὦ
δελφίνων μεδέων, Σουνιάρατε, 560
ὦ Γεραίστιε παῖ Κρόνου,
Φορμίωνί τε φίλτατ' ἐκ
τῶν ἄλλων τε θεῶν Ἀθη-
ναίοις πρὸς τὸ παρεστός.

Ἐπίρρημα.

εὐλογῆσαι βουλόμεσθα τοὺς πατέρας ἡμῶν, ὅτι 565
ἄνδρες ἦσαν τῆσδε τῆς γῆς ἄξιοι καὶ τοῦ πέπλου,
οἵτινες πεζαῖς μάχαισιν ἔν τε ναυφράκτῳ στρατῷ
πανταχοῦ νικῶντες ἀεὶ τήνδ' ἐκόσμησαν πόλιν.
οὐ γὰρ οὐδεὶς πώποτ' αὐτῶν τοὺς ἐναντίους ἰδὼν
ἠρίθμησεν, ἀλλ' ὁ θυμὸς εὐθὺς ἦν ἀμυνίας· 570
εἰ δέ που πέσοιεν ἐς τὸν ὦμον ἐν μάχῃ τινί,
τοῦτ' ἀπεψήσαντ' ἄν, εἶτ' ἠρνοῦντο μὴ πεπτωκέναι,
ἀλλὰ διεπάλαιον αὖθις. καὶ στρατηγὸς οὐδ' ἂν εἷς
τῶν πρὸ τοῦ σίτησιν ᾔτησ' ἐρόμενος Κλεαίνετον·
νῦν δ', ἐὰν μὴ προεδρίαν φέρωσι καὶ τὰ σιτία, 575
οὐ μαχεῖσθαί φασιν. ἡμεῖς δ' ἀξιοῦμεν τῇ πόλει
προῖκα γενναίως ἀμύνειν καὶ θεοῖς ἐγχωρίοις.
καὶ πρὸς οὐκ αἰτοῦμεν οὐδὲν πλὴν τοσουτονὶ μόνον·
ἤν ποτ' εἰρήνη γένηται καὶ πόνων παυσώμεθα,
μὴ φθονεῖθ' ἡμῖν κομῶσι μηδ' ἀπεστλεγγισμένοις.

Ἀντιστρ.

ὦ πολιοῦχε Παλλάς, ὦ 581
τῆς ἱερωτάτης, ἁπα-
σῶν πολέμῳ τε καὶ ποιη-
ταῖς δυνάμει θ' ὑπερφερού-

---

v. 565—580 = v. 595—610 tetrametri troch. catalectici.

Digitized by Google

σης μεδέουσα χώρας,
δεῦρ' ἀφικοῦ λαβοῦσα τήν
ἐν στρατιαῖς τε καὶ μάχαις
ἡμετέραν ξυνεργόν
Νίκην, ἣ χορικῶν ἐστιν ἑταίρα
τοῖς τ' ἐχθροῖσι μεθ' ἡμῶν στασιάζει.
νῦν οὖν δεῦρο φάνηθι· δεῖ
γὰρ τοῖς ἀνδράσι τοῖσδε πά-
σῃ τέχνῃ πορίσαι σε νί-
κην εἴπερ ποτὲ καὶ νῦν.

Ἀντεπίρρημα.

ἃ ξύνισμεν τοῖσιν ἵπποις, βουλόμεσθ' ἐπαινέσαι.
ἄξιοι δ' εἶσ' εὐλογεῖσθαι· πολλὰ γὰρ δὴ πράγματα
ξυνδιήνεγκαν μεθ' ἡμῶν, εἰσβολάς τε καὶ μάχας.
ἀλλὰ τἀν τῇ γῇ μὲν αὐτῶν οὐκ ἄγαν θαυμάζομεν,
ὡς ὅτ' εἰς τὰς ἱππαγωγοὺς εἰσεπήδων ἀνδρικῶς,
πριάμενοι κώθωνας, οἱ δὲ καὶ σκόροδα καὶ κρόμ-
μυα·
εἶτα τὰς κώπας λαβόντες ὥσπερ ἡμεῖς οἱ βροτοί
ἐμβαλόντες ἀνεβρύαξαν· ἱππαπαῖ, τίς ἐμβαλεῖ;
ληπτέον μᾶλλον. τί δρῶμεν; οὐκ ἐλᾷς, ὦ σαμφόρα;
ἐξεπήδων τ' ἐς Κόρινθον· εἶτα δ' οἱ νεώτατοι
ταῖς ὁπλαῖς ὤρυττον εὐνὰς καὶ μετῆσαν στρώματα·
ἤσθιον δὲ τοὺς παγούρους ἀντὶ ποίας Μηδικῆς,
εἴ τις ἐξέρποι θύραζε κἀκ βυθοῦ θηρώμενοι·
ὥστ' ἔφη Θέωρος εἰπεῖν καρκίνου Κορίνθιον·
δεινά γ', ὦ Πόσειδον, εἰ μηδ' ἐν βυθῷ δυνήσομαι
μήτε γῇ μήτ' ἐν θαλάττῃ διαφυγεῖν τοὺς ἱππέας.

* * *

Digitized by Google

Allantopola in scaenam reversus quam callide in curia veteratorem ceperit equitibus exponit; deinde Paphlagon accedit; victoriae spe nondum abiecta ad Populum provocat cuius arbitrio res decidatur. Nec isiciarius hunc disceptatorem recusat.

Ἐπεισοδίου β' media pars [v. 725—874].

ΚΛ. Ὦ Δῆμε, δεῦρ' ἔξελθε. ΑΛΛ. νὴ Δί', ὦ πάτερ, 725
ἔξελθε δῆτ'. ΚΛ. ὦ Δημίδιον ὦ φίλτατον,
ἔξελθ', ἵν' εἰδῇς οἷα περιυβρίζομαι.

ΔΗ. τίνες οἱ βοῶντες; οὐκ ἄπιτ' ἀπὸ τῆς θύρας;
τὴν εἰρεσιώνην μου κατεσπαράξατε.
τίς, ὦ Παφλαγών, ἀδικεῖ σε; ΚΛ. διὰ σὲ τύ-
πτομαι 730
ὑπὸ τουτουῖ καὶ τῶν νεανίσκων. ΔΗ. τιή;

ΚΛ. ὁτιὴ φιλῶ σ', ὦ Δῆμ', ἐραστής τ' εἰμὶ σός.

ΔΗ. σὺ δ' εἶ τίς ἑτεόν; ΑΛΛ. ἀντεραστὴς τουτουῖ,
ἐρῶν πάλαι σου βουλόμενός τέ σ' εὖ ποιεῖν,
ἄλλοι τε πολλοὶ καὶ καλοί τε κἀγαθοί. 735
ἀλλ' οὐχ οἷοί τ' ἐσμὲν διὰ τουτονί. σὺ γάρ
ὅμοιος εἶ τοῖς παισὶ τοῖς ἐρωμένοις·
τοὺς μὲν καλούς τε κἀγαθοὺς οὐ προσδέχει,
σαυτὸν δὲ λυχνοπώλαισι καὶ νευρορράφοις
καὶ σκυτοτόμοις καὶ βυρσοπώλαισιν δίδως. 740

ΚΛ. εὖ γὰρ ποιῶ τὸν Δῆμον. ΑΛΛ. εἰπέ μοι, τί δρῶν;

ΚΛ. ὅτι τῶν στρατηγῶν ὑποδραμὼν τῶν ἐκ Πύλου,
πλεύσας ἐκεῖσε, τοὺς Λάκωνας ἤγαγον.

ΑΛΛ. ἐγὼ δὲ περιπατῶν γ' ἀπ' ἐργαστηρίου
ἕψοντος ἑτέρου τὴν χύτραν ὑφειλόμην. 745

ΚΛ. καὶ μὴν ποιήσας αὐτίκα μάλ' ἐκκλησίαν,
ὦ Δῆμ', ἵν' εἰδῇς ὁπότερος νῷν ἐστί σοι

Digitized by Google

εὐνούστερος, διάκρινον, ἵνα τοῦτον φιλῇς.
ΑΛΛ. ναὶ ναί, διάκρινον δῆτα, πλὴν μὴ 'ν τῇ πυκνί.
ΔΗ. οὐκ ἂν καθιζοίμην ἐν ἄλλῳ χωρίῳ. 750
ἀλλ' ἐς τὸ πρόσθε· χρὴ παρεῖν' ἐς τὴν πύκνα.
ΑΛΛ. οἴμοι κακοδαίμων, ὡς ἀπόλωλ'. ὁ γὰρ γέρων
οἶκοι μὲν ἀνδρῶν ἐστι δεξιώτατος,
ὅταν δ' ἐπὶ ταυτησὶ καθῆται τῆς πέτρας,
κέχηνεν ὥσπερ ἐμποδίζων ἰσχάδας. 755

Στρ.

ΧΟΡ. νῦν δή σε πάντα δεῖ κάλων ἐξιέναι σεαυτοῦ
καὶ λῆμα θούριον φορεῖν καὶ λόγους ἀφύκτους,
ὅτοισι τόνδ' ὑπερβαλεῖ. ποικίλος γὰρ ἀνὴρ
κἀκ τῶν ἀμηχάνων πόρους εὐμήχανος πορίζειν.
πρὸς ταῦθ' ὅπως ἕξει πολὺς καὶ λαμπρὸς ἐς
τὸν ἄνδρα. 760
ἀλλὰ φυλάττου καὶ πρὶν ἐκεῖνον προσκεῖσθαί
σοι πρότερον σύ
τοὺς δελφῖνας μετεωρίζου καὶ τὴν ἄκατον παρα-
βάλλου.
ΚΛ. τῇ μὲν δεσποίνῃ Ἀθηναίᾳ, τῇ τῆς πόλεως με-
δεούσῃ,
εὔχομαι, εἰ μὲν περὶ τὸν δῆμον τὸν Ἀθηναίων
γεγένημαι
βέλτιστος ἀνὴρ μετὰ Λυσικλέα καὶ Κύνναν καὶ
Σαλαβακχώ, 765

Stropha v. 756—760 = Antistr. v. 836—840.
Strophae constant quinis tetrametris iambicis catalecticis, e quibus alter et tertius quinti pedis thesi carent (⏑̄_⏑_⏑̄_⏑⏑_⏑_⏑⏑̄).
v. 761—823 tetrametri anapaestici catal.

Digitized by Google

ὥσπερ νυνὶ μηδὲν δράσας δειπνεῖν ἐν τῷ πρυτανείῳ·
εἰ δέ σε μισῶ καὶ μὴ περὶ σοῦ μάχομαι μόνος ἀντιβεβηκώς,
ἀπολοίμην καὶ διαπρισθείην κατατμηθείην τε λέπαδνα.

ΑΛΛ. κἄγωγ', ὦ Δῆμ', εἰ μή σε φιλῶ καὶ μὴ στέργω, κατατμηθείς
ἑψοίμην ἐν περικομματίοις· κεἰ μὴ τούτοισι πέποιθας, 770
ἐπὶ ταυτησὶ κατακνησθείην ἐν μυττωτῷ μετὰ τυροῦ
καὶ τῇ κρεάγρᾳ τῶν ὀρχιπέδων ἑλκοίμην ἐς Κεραμεικόν.

ΚΛ. καὶ πῶς ἂν ἐμοῦ μᾶλλόν σε φιλῶν, ὦ Δῆμε, γένοιτο πολίτης;
ὃς πρῶτα μέν, ἡνίκ' ἐβούλευον, σοὶ χρήματα πλεῖστ' ἀπέδειξα
ἐν τῷ κοινῷ, τοὺς μὲν στρεβλῶν, τοὺς δ' ἄγχων, τοὺς δὲ μεταιτῶν, 775
οὐ φροντίζων τῶν ἰδιωτῶν οὐδενός, εἰ σοὶ χαριοίμην.

ΑΛΛ. τοῦτο μέν, ὦ Δῆμ', οὐδὲν σεμνόν, κἀγὼ γὰρ τοῦτό σε δράσω·
ἁρπάζων γὰρ τοὺς ἄρτους σοι τοὺς ἀλλοτρίους παραθήσω.
ὡς δ' οὐχὶ φιλεῖ σ' οὐδ' ἔστ' εὔνους, τοῦτ' αὐτό σε πρῶτα διδάξω,
ἀλλ' ἢ διὰ τοῦτ' αὖθ' ὁτιή σου τῆς ἀνθρακιᾶς ἀπολαύει. 780

Digitized by Google

σὲ γάρ, ὃς Μήδοισι διεξιφίσω περὶ τῆς χώρας Μαραθῶνι
καὶ νικήσας ἡμῖν μεγάλως ἐγγλωττοτυπεῖν παρέδωκας,
ἐπὶ ταῖσι πέτραις οὐ φροντίζει σκληρῶς σε καθήμενον οὕτως,
οὐχ ὥσπερ ἐγὼ ῥαψάμενός σοι τουτὶ φέρω. ἀλλ' ἐπαναίρου
κἄτα καθίζου μαλακῶς, ἵνα μὴ τρίβῃς τὴν ἐν Σαλαμῖνι. 785

ΔΗ. ἄνθρωπε, τίς εἶ; μῶν ἔκγονος εἶ τῶν Ἁρμοδίου τις ἐκείνου;
* τοῦτό γέ τοί σου τοὔργον ἀληθῶς γενναῖον καὶ φιλόδημον.

ΚΛ. ὡς ἀπὸ μικρῶν εὔνους αὐτῷ θωπευματίων γεγένησαι.

ΑΛΛ. καὶ σὺ γὰρ αὐτὸν πολύ μικροτέροις τούτων δελεάσμασιν εἷλες.

ΚΛ. καὶ μὴν εἴ πού τις ἀνὴρ ἐφάνη τῷ Δήμῳ μᾶλλον ἀμύνων 790
ἢ μᾶλλον ἐμοῦ σε φιλῶν, ἐθέλω περὶ τῆς κεφαλῆς περιδόσθαι.

ΑΛΛ. καὶ πῶς σὺ φιλεῖς, ὃς τοῦτον ὁρῶν οἰκοῦντ' ἐν ταῖς πιθάκναισι
καὶ γυπαρίοις καὶ πυργιδίοις ἔτος ὄγδοον οὐκ ἐλεαίρεις,
ἀλλὰ καθείρξας αὐτὸν βλίττεις; Ἀρχεπτολέμου δὲ φέροντος
τὴν εἰρήνην ἐξεσκέδασας τὰς πρεσβείας τ' ἀπελαύνεις 795

Digitized by Google

ἐκ τῆς πόλεως φαθαπυγίζων, αἳ τὰς σπονδὰς προ-
καλοῦνται.

ΚΛ. ἵνα γ' Ἑλλήνων ἄρξῃ πάντων. ἔστι γὰρ ἐν τοῖς λογίοισιν
ὡς τοῦτον δεῖ ποτ' ἐν Ἀρκαδίᾳ πεντωβόλου ἡλιάσασθαι,
ἢν ἀναμείνῃ. πάντως δ' αὐτὸν θρέψω 'γὼ καὶ θεραπεύσω,
ἐξευρίσκων εὖ καὶ μακρῶς ὁπόθεν τὸ τριώβολον ἕξει. 800

ΑΛΛ. οὐχ ἵνα γ' ἄρξῃ μὰ Δί' Ἀρκαδίας προνοούμενος, ἀλλ' ἵνα μᾶλλον
σὺ μὲν ἁρπάζῃς καὶ δωροδοκῇς παρὰ τῶν πόλεων, ὁ δὲ Δῆμος
ὑπὸ τοῦ πολέμου καὶ τῆς ὁμίχλης ἃ πανουργεῖς μὴ καθορᾷ σου,
ἀλλ' ὑπ' ἀνάγκης ἅμα καὶ χρείας καὶ μισθοῦ πρός σε κεχήνῃ.
εἰ δέ ποτ' εἰς ἀγρὸν οὗτος ἀπελθων εἰρηναῖος διατρίψῃ 805
καὶ χἠθρα φαγὼν ἀναθαρρήσῃ καὶ στεμφύλῳ ἐς λόγον ἔλθῃ,
γνώσεται οἷων ἀγαθῶν αὐτὸν τῇ μισθοφορᾷ παρεκόπτου,
εἶθ' ἥξει σοι δημὺς ἄγροικος, κατὰ σοῦ τὴν ψῆφον ἰχνεύων.
ἃ σὺ γιγνώσκων τόνδ' ἐξαπατᾷς καὶ ὀνειροπολεῖς περὶ σαυτοῦ.

ΚΛ. οὔκουν δεινὸν ταυτί σε λέγειν δῆτ' ἔστ' ἐμὲ καὶ διαβάλλειν 810

Digitized by Google

πρὸς Ἀθηναίους καὶ τὸν Δῆμον, πεποιηκότα πλείονα χρηστά
νὴ τὴν Δήμητρα Θεμιστοκλέους πολλῷ περὶ τὴν πόλιν ἤδη;

ΑΛΛ. ὦ πόλις Ἄργους, κλύεθ' οἷα λέγει. σὺ Θεμιστοκλεῖ ἀντιφερίζεις;
ὃς ἐποίησεν τὴν πόλιν ἡμῶν μεστὴν εὑρὼν ἐπιχειλῆ·
καὶ πρὸς τούτοις ὡριστώσῃ τὸν Πειραιᾶ προσέμαξεν 815
ἀφελών τ' οὐδὲν τῶν ἀρχαίων ἰχθῦς καινοὺς παρέθηκεν.
σὺ δ' Ἀθηναίους ἐζήτησας μικροπολίτας ἀποφῆναι
διατειχίζων καὶ χρησμῳδῶν, ὁ Θεμιστοκλεῖ ἀντιφερίζων.
κἀκεῖνος μὲν φεύγει τὴν γῆν, σὺ δ' Ἀχιλλείων ἀπομύττει.

ΚΛ. οὔκουν ταυτὶ δεινὸν ἀκούειν, ὦ Δῆμ', ἐστίν μ' ὑπὸ τούτου, 820
ὁτιή σε φιλῶ * πάνυ; ΔΗ. παῦ', οὗτος, καὶ μὴ σκέρβολλε πονηρά.
πολλοῦ δὲ πολύν με χρόνον καὶ νῦν ἐλελήθης ἐγκρυφιάζων.

ΑΛΛ. μιαρώτατος, ὦ Δημακίδιον, καὶ πλεῖστα πανοῦργα δεδρακώς,
ὀπόταν χασμᾷ, καὶ τοὺς καυλοὺς τῶν εὐθυνῶν ἐκκαυλίζων 825

---

v. 824—835 systema anapaesticum.

Digitized by Google

καταβροχθίζει κἀμφοῖν χειροῖν
μυστιλᾶται τῶν δημοσίων.
ΚΛ. οὐ χαιρήσεις, ἀλλά σε κλέπτονθ'
αἱρήσω 'γὼ τρεῖς μυριάδας.
ΑΛΛ. τί θαλαττοκοπεῖς καὶ πλατυγίζεις, 830
μιαρώτατος ὢν περὶ τὸν δῆμον
τὸν Ἀθηναίων; καί σ' ἐπιδείξω
νὴ τὴν Δήμητρ', ἢ μὴ ζῴην,
δωροδοκήσαντ' ἐκ Μυτιλήνης
πλεῖν ἢ μνᾶς τετταράκοντα. 835

Ἀντιστρ.

ΧΟΡ. ὦ πᾶσιν ἀνθρώποις φανεὶς μέγιστον ὠφέλημα,
ζηλῶ σε τῆς εὐγλωττίας. εἰ γὰρ ὧδ' ἐποίσεις,
μέγιστος Ἑλλήνων ἔσει καὶ μόνος καθέξεις
τἀν τῇ πόλει τῶν ξυμμάχων τ' ἄρξεις ἔχων τρίαιναν,
ἢ πολλὰ χρήματ' ἐργάσει σείων τε καὶ ταράττων.
καὶ μὴ μεθῇς τὸν ἄνδρ', ἐπειδή σοι λαβὴν δέδωκεν· 841
κατεργάσει γὰρ ῥᾳδίως, πλευρὰς ἔχων τοιαύτας.
ΚΛ. οὐκ ὦ 'γαθοί, ταῦτ' ἐστί πω ταύτῃ μὰ τὸν Ποσειδῶ.
ἐμοὶ γάρ ἐστ' εἰργασμένον τοιοῦτον ἔργον, ὥστε
ἁπαξάπαντας τοὺς ἐμοὺς ἐχθροὺς ἐπιστομίζειν, 845
ἕως ἂν ᾖ τῶν ἀσπίδων τῶν ἐκ Πύλου τι λοιπόν.
ΑΛΛ. ἐπίσχες ἐν ταῖς ἀσπίσιν· λαβὴν γὰρ ἐνδέδωκας.
οὐ γάρ σ' ἐχρῆν, εἴπερ φιλεῖς τὸν Δῆμον, ἐκ προνοίας

---

v. 841—874 tetrametri iambici catalectici.

Digitized by Google

ταύτας ἐᾶν αὐτοῖσι τοῖς πόρπαξιν ἀνατεθῆναι.
ἀλλ' ἔστι τοῦτ', ὦ Δῆμε, μηχάνημ', ἵν', ἢν σὺ βούλῃ 850
τὸν ἄνδρα κολάσαι τουτονί, σοὶ τοῦτο μὴ 'κγένηται.
ὁρᾷς γὰρ αὐτῷ στῖφος οἷόν ἐστι βυρσοπωλῶν νεανιῶν· τούτους δὲ περιοικοῦσι μελιτοπῶλαι καὶ τυροπῶλαι· τοῦτο δ' εἷς ἕν ἐστι συγκεκυφός, ὥστ' εἰ σὺ βριμήσαιο καὶ βλέψειας ὀστρακίνδα, 855
νύκτωρ κατασπάσαντες ἂν τὰς ἀσπίδας θέοντες τὰς εἰσβολὰς τῶν ἀλφίτων ἂν καταλάβοιεν ἡμῶν.

ΔΗ. οἴμοι τάλας· ἔχουσι γὰρ πόρπακας; ὦ πονηρέ, ὅσον με παρεκόπτου χρόνον τοιαῦτα κρουσιδημῶν.

ΚΛ. ὦ δαιμόνιε, μὴ τοῦ λέγοντος ἴσθι, μηδ' οἰηθῇς 860
ἐμοῦ ποθ' εὑρήσειν φίλον βελτίον'· ὅστις εἷς ὤν ἔπαυσα τοὺς ξυνωμότας, καί μ' οὐ λέληθεν οὐδέν ἐν τῇ πόλει ξυνιστάμενον, ἀλλ' εὐθέως κέκραγα.

ΑΛΛ. ὅπερ γὰρ οἱ τὰς ἐγχέλεις θηρώμενοι πέπονθας. ὅταν μὲν ἡ λίμνη καταστῇ, λαμβάνουσιν οὐδέν· 865
ἐὰν δ' ἄνω τε καὶ κάτω τὸν βόρβορον κυκῶσιν, αἱροῦσι· καὶ σὺ λαμβάνεις, ἢν τὴν πόλιν ταράττῃς.
ἓν δ' εἰπέ μοι τοσουτονί· σκύτη τοσαῦτα πωλῶν ἔδωκας ἤδη τουτῳὶ κάττυμα παρὰ σεαυτοῦ ταῖς ἐμβάσιν, φάσκων φιλεῖν; ΔΗ. οὐ δῆτα μὰ τὸν Ἀπόλλω. 870

Digitized by Google

ΑΛΛ. ἔγνωκας οὖν δῆτ' αὐτὸν οἷός ἐστιν; ἀλλ' ἐγώ σοι
ζεῦγος πριάμενος ἐμβάδοιν τουτὶ φορεῖν δίδωμι.
ΔΗ. κρίνω σ' ὅσων ἐγῷδα περὶ τὸν Δῆμον ἄνδρ' ἄριστον
εὐνούστατόν τε τῇ πόλει καὶ τοῖσι δακτύλοισιν.

Cleon, ut reconcilietur seni, memorat oracula, Populi delicias; adversarii dum volumina sua promunt, ab choro pronuntiatur

Canticum [v. 973—996].

Συστ. α'.

ΧΟΡ. Ἥδιστον φάος ἡμέρας
ἔσται τοῖσι παροῦσι καί
τοῖσιν * εἰςαφικνουμένοις 975
ἢν Κλέων ἀπόληται.

Συστ. β'.

καίτοι πρεσβυτέρων τινῶν
οἵων ἀργαλεωτάτων
ἐν τῷ δείγματι τῶν δικῶν
ἤκουσ' ἀντιλεγόντων, 980

Συστ. γ'.

ὡς εἰ μὴ 'γένεθ' οὗτος ἐν
τῇ πόλει μέγας, οὐκ ἂν ἤ-
στην σκεύη δύο χρησίμω,
δοῖδυξ οὐδὲ τορύνη.

Συστ. δ'.

ἀλλὰ καὶ τόδ' ἔγωγε θαυ- 985
μάζω τῆς ὕομουσίας
αὐτοῦ· φασὶ γὰρ αὐτὸν οἱ
παῖδες, οἳ ξυνεφοίτων,

Systemata constant ternis glyconeis (– ⏑ – ⏑ – ⏑ –), quibus pherecrateis (– ⏑ – ⏑ – ⏑) singuli subiuncti sunt.

Digitized by Google

Συστ. ε'.

τὴν Δωριστὶ μόνην * μὲν ἁρ-
μόττεσθαι θαμὰ τὴν λύραν, 990
ἄλλην δ' οὐκ ἐθέλειν μαθεῖν·
κἆτα τὸν κιθαριστὴν

Συστ. ϛ'.

ὀργισθέντ' ἀπάγειν κελεύ-
ειν, ὡς ἁρμονίαν ὁ παῖς
οὗτος οὐ δύναται μαθεῖν 995
ἢν μὴ δωροδοκηστί.

ΝΕΦΕΛΑΙ.

Poeta fabulam Nubes, cum anno 423 Dionysiis (*τοῖς ἐν ἄστει Διονυσίοις*) acta cecidisset, sic retractare coepit, ut alia passim corrigeret, alia velut parabasim, iusti iniustique oratoris concertationem, finem penitus mutaret. Sed rem institutam non ita absolvit ut fabulam iterum in scaenam committeret. Hodie exstat altera imperfecta comoediae recensio. — Strepsiades in grabato cubans conspicitur insomnis sub diluculum; aere alieno obrutus cum quomodo ex nummaria difficultate se expediret diu haesitasset, unam spem sibi relictam videt, si filius Phidippides ab studio rei equestris ad exercendam artem Socraticam conversus inferiorem causam dicendo superiorem reddere discat.

Πρόλογος [v. 1—274].

ΣΤΡ. Ἰοὺ ἰού.
ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν νυκτῶν ὅσον
ἀπέραντον· οὐδέποθ' ἡμέρα γενήσεται;
καὶ μὴν πάλαι γ' ἀλεκτρυόνος ἤκουσ' ἐγώ.
οἱ δ' οἰκέται ῥέγκουσιν· ἀλλ' οὐκ ἂν πρὸ τοῦ. 5
ἀπόλοιο δῆτ', ὦ πόλεμε, πολλῶν οὕνεκα,
ὅτ' οὐδὲ κολάσ' ἔξεστί μοι τοὺς οἰκέτας.

Digitized by Google

ἀλλ' οὐδ' ὁ χρηστὸς οὑτοσὶ νεανίας
ἐγείρεται τῆς νυκτός, ἀλλὰ πέρδεται
ἐν πέντε σισύραις ἐγκεκορδυλημένος. 10
ἀλλ' εἰ δοκεῖ, ῥέγκωμεν ἐγκεκαλυμμένοι.
ἀλλ' οὐ δύναμαι δείλαιος εὕδειν δακνόμενος
ὑπὸ τῆς δαπάνης καὶ τῆς φάτνης καὶ τῶν χρεῶν
διὰ τουτονὶ τὸν υἱόν. ὁ δὲ κόμην ἔχων
ἱππάζεταί τε καὶ ξυνωρικεύεται 15
ὀνειροπολεῖ θ' ἵππους· ἐγὼ δ' ἀπόλλυμαι
ὁρῶν ἄγουσαν τὴν σελήνην εἰκάδας·
οἱ γὰρ τόκοι χωροῦσιν. ἅπτε, παῖ, λύχνον
κἄκφερε τὸ γραμματεῖον, ἵν' ἀναγνῶ λαβὼν
ὁπόσοις ὀφείλω καὶ λογίσωμαι τοὺς τόκους. 20
φέρ' ἴδω, τί ὀφείλω; δώδεκα μνᾶς Πασίᾳ.
τοῦ δώδεκα μνᾶς Πασίᾳ; τί ἐχρησάμην;
ὅτ' ἐπριάμην τὸν κοππατίαν. οἴμοι τάλας,
εἰθ' ἐξεκόπη πρότερον τὸν ὀφθαλμὸν λίθῳ.

ΦΕΙ. Φίλων, ἀδικεῖς· ἔλαυνε τὸν σαυτοῦ δρόμον. 25

ΣΤΡ. τοῦτ' ἔστι τουτὶ τὸ κακόν, ὅ μ' ἀπολώλεκεν·
ὀνειροπολεῖ γὰρ καὶ καθεύδων ἱππικήν.

ΦΕΙ. πόσους δρόμους ἐλᾷ τὰ πολεμιστήρια;

ΣΤΡ. ἐμὲ μὲν σὺ πολλοὺς τὸν πατέρ' ἐλαύνεις δρόμους.
ἀτὰρ τί χρέος ἔβα με μετὰ τὸν Πασίαν; 30
τρεῖς μναῖ διφρίσκου καὶ τροχοῖν Ἀμυνίᾳ.

ΦΕΙ. ἄπαγε τὸν ἵππον ἐξαλίσας οἴκαδε.

ΣΤΡ. ἀλλ', ὦ μέλ', ἐξήλικας ἐμέ γ' ἐκ τῶν ἐμῶν,
ὅτε καὶ δίκας ὤφληκα χἄτεροι τόκου
ἐνεχυράσεσθαί φασιν. ΦΕΙ. ἐτεόν, ὦ πάτερ, 35
τί δυσκολαίνεις καὶ στρέφει τὴν νύχθ' ὅλην;

ΣΤΡ. δάκνει με δήμαρχός τις ἐκ τῶν στρωμάτων.

Digitized by Google

ΦΕΙ. ἔασον, ὦ δαιμόνιε, καταδαρθεῖν τί με.
ΣΤΡ. σὺ δ' οὖν κάθευδε· τὰ δὲ χρέα ταῦτ' ἴσθ' ὅτι
εἰς τὴν κεφαλὴν ἅπαντα τὴν σὴν τρέψεται. 40
φεῦ.
εἶθ' ὤφελ' ἡ προμνήστρι' ἀπολέσθαι κακῶς,
ἥτις με γῆμ' ἐπῆρε τὴν σὴν μητέρα.
ἐμοὶ γὰρ ἦν ἄγροικος ἥδιστος βίος,
εὐρωτιῶν, ἀκόρητος, εἰκῆ κείμενος,
βρύων μελίτταις καὶ προβάτοις καὶ στεμφύλοις. 45
ἔπειτ' ἔγημα Μεγακλέους τοῦ Μεγακλέους
ἀδελφιδῆν, ἄγροικος ὢν ἐξ ἄστεως,
σεμνήν, τρυφῶσαν, ἐγκεκοισυρωμένην.
ταύτην ὅτ' ἐγάμουν, συγκατεκλινόμην ἐγώ
ὄζων τρυγός, τρασιᾶς, ἐρίων περιουσίας, 50
ἡ δ' αὖ μύρου, κρόκου, καταγλωττισμάτων,
δαπάνης, λαφυγμοῦ, Κωλιάδος, Γενετυλλίδος.
οὐ μὴν ἐρῶ γ' ὡς ἀργὸς ἦν, ἀλλ' ἐσπάθα.
ἐγὼ δ' ἂν αὐτῇ θοἰμάτιον δεικνὺς τοδί
πρόφασιν ἔφασκον· ὦ γύναι, λίαν σπαθᾷς. 55
ΘΕΡ. ἔλαιον ἡμῖν οὐκ ἔνεστ' ἐν τῷ λύχνῳ.
ΣΤΡ. οἴμοι· τί γάρ μοι τὸν πότην ἥπτες λύχνον;
δεῦρ' ἔλθ', ἵνα κλάῃς. ΘΕΡ. διὰ τί δῆτα κλαύσομαι;
ΣΤΡ. ὅτι τῶν παχειῶν ἐνετίθεις θρυαλλίδων.
μετὰ ταῦθ', ὅπως νῷν ἐγένεθ' υἱὸς οὑτοσί, 60
ἐμοί τε δὴ καὶ τῇ γυναικὶ τἀγαθῇ,
περὶ τοὐνόματος δὴ 'ντεῦθεν ἐλοιδορούμεθα·
ἡ μὲν γὰρ ἵππον προσετίθει πρὸς τοὔνομα,
Ξάνθιππον ἢ Χαίριππον ἢ Καλλιππίδην,
ἐγὼ δὲ τοῦ πάππου 'τιθέμην Φειδωνίδην. 65

Digitized by Google

τέως μὲν οὖν ἐκρινόμεθ'· εἶτα τῷ χρόνῳ
κοινῇ ξυνέβημεν κἀθέμεθα Φειδιππίδην.
τοῦτον τὸν υἱὸν λαμβάνουσ' ἐκορίζετο·
ὅταν σὺ μέγας ὢν ἅρμ' ἐλαύνῃς πρὸς πόλιν,
ὥσπερ Μεγακλέης, ξυστίδ' ἔχων. ἐγὼ δ' ἔφην· 70
ὅταν μὲν οὖν τὰς αἶγας ἐκ τοῦ φελλέως,
ὥσπερ ὁ πατήρ σου, διφθέραν ἐνημμένος.
ἀλλ' οὐκ ἐπίθετο τοῖς ἐμοῖς οὐδὲν λόγοις,
ἀλλ' ἵππερόν μου κατέχεεν τῶν χρημάτων.
νῦν οὖν ὅλην τὴν νύκτα φροντίζων ὁδοῦ 75
μίαν εὗρον ἀτραπὸν δαιμονίως ὑπερφυᾶ,
ἣν ἢν ἀναπείσω τουτονί, σωθήσομαι.
ἀλλ' ἐξεγεῖραι πρῶτον αὐτὸν βούλομαι·
πῶς δῆτ' ἂν ἥδιστ' αὐτὸν ἐπεγείραιμι; πῶς;
Φειδιππίδη, Φειδιππίδιον. ΦΕΙ. τί, ὦ πάτερ;
ΣΤΡ. κύσον με καὶ τὴν χεῖρα δὸς τὴν δεξιάν. 81
ΦΕΙ. ἰδού. τί ἔστιν; ΣΤΡ. εἰπέ μοι, φιλεῖς ἐμέ;
ΦΕΙ. νὴ τὸν Ποσειδῶ τουτονὶ τὸν ἵππιον.
ΣΤΡ. μὴ 'μοί γε τοῦτον μηδαμῶς τὸν ἵππιον·
οὗτος γὰρ ὁ θεὸς αἴτιός μοι τῶν κακῶν. 85
ἀλλ' εἴπερ ἐκ τῆς καρδίας μ' ὄντως φιλεῖς,
ὦ παῖ, πίθοῦ μοι. ΦΕΙ. *τί δὲ πίθωμαι δῆτά σοι;
ΣΤΡ. ἔκστρεψον ὡς τάχιστα τοὺς σαυτοῦ τρόπους
καὶ μάνθαν' ἐλθὼν ἃν ἐγὼ παραινέσω.
ΦΕΙ. λέγε δή, τί κελεύεις; ΣΤΡ. καί τι πείσει; ΦΕΙ. πείσομαι, 90
νὴ τὸν Διόνυσον. ΣΤΡ. δεῦρό νυν ἀπόβλεπε.
ὁρᾷς τὸ θύριον τοῦτο καὶ τῷκίδιον;
ΦΕΙ. ὁρῶ. τί οὖν τοῦτ' ἔστιν ἑτέον, ὦ πάτερ;
ΣΤΡ. ψυχῶν σοφῶν τοῦτ' ἔστι φροντιστήριον·

Digitized by Google

ἐνταῦθ' ἐνοικοῦσ' ἄνδρες, οἳ τὸν οὐρανόν 95
λέγοντες ἀναπείθουσιν ὡς ἔστιν πνιγεύς
κἄστιν περὶ ἡμᾶς οὗτος, ἡμεῖς δ' ἄνθρακες.
οὗτοι διδάσκουσ', ἀργύριον ἤν τις διδῷ,
λέγοντα νικᾶν καὶ δίκαια κἄδικα.
ΦΕΙ. εἰσὶν δὲ τίνες; ΣΤΡ. οὐκ οἶδ' ἀκριβῶς τοὔνομα·
μεριμνοφροντισταὶ καλοί τε κἀγαθοί. 101
ΦΕΙ. αἰβοῖ, πονηροί γ', οἶδα. τοὺς ἀλαζόνας,
τοὺς ὠχριῶντας, τοὺς ἀνυποδήτους λέγεις·
ὧν ὁ κακοδαίμων Σωκράτης καὶ Χαιρεφῶν.
ΣΤΡ. ἢ ἤ, σιώπα· μηδὲν εἴπῃς νήπιον. 105
ἀλλ' εἴ τι κήδει τῶν πατρῴων ἀλφίτων,
τούτων γενοῦ μοι σχασάμενος τὴν ἱππικήν.
ΦΕΙ. οὐκ ἂν μὰ τὸν Διόνυσον, εἰ δοίης γέ μοι
τοὺς φασιανούς, οὓς τρέφει Λεωγόρας.
ΣΤΡ. ἴθ', ἀντιβολῶ σ', ὦ φίλτατ' ἀνθρώπων ἐμοί, 110
ἐλθὼν διδάσκου. ΦΕΙ. καὶ τί σοι μαθήσομαι;
ΣΤΡ. εἶναι παρ' αὐτοῖς φασιν ἄμφω τὼ λόγω,
τὸν κρείττον', ὅστις ἐστί, καὶ τὸν ἥττονα·
τούτοιν τὸν ἕτερον τοῖν λόγοιν, τὸν ἥττονα,
νικᾶν λέγοντά φασι τἀδικώτερα. 115
ἢν οὖν μάθῃς μοι τὸν ἄδικον τοῦτον λόγον,
ἃ νῦν ὀφείλω διὰ σέ, τούτων τῶν χρεῶν
οὐκ ἂν ἀποδοίην οὐδ' ἂν ὀβολὸν οὐδενί.
ΦΕΙ. οὐκ ἂν πιθοίμην· οὐ γὰρ ἂν τλαίην ἰδεῖν
τοὺς ἱππέας τὸ χρῶμα διακεκναισμένος. 120
ΣΤΡ. οὐκ ἄρα μὰ τὴν Δήμητρα τῶν γ' ἐμῶν ἔδει,
οὔτ' αὐτὸς οὔθ' ὁ ζύγιος οὔθ' ὁ σαμφόρας·
ἀλλ' ἐξελῶ σ' ἐς κόρακας ἐκ τῆς οἰκίας.
ΦΕΙ. ἀλλ' οὐ περιόψεταί μ' ὁ θεῖος Μεγακλέης

Digitized by Google

ἄνιππον. ἀλλ' εἴσειμι, σοῦ δ' οὐ φροντιῶ. 125
ΣΤΡ. ἀλλ' οὐδ' ἐγὼ μέντοι πεσών γε κείσομαι·
ἀλλ' εὐξάμενος τοῖσιν θεοῖς διδάξομαι
αὐτὸς βαδίζων εἰς τὸ φροντιστήριον.
πῶς οὖν γέρων ὢν κἀπιλήσμων καὶ βραδὺς
λόγων ἀκριβῶν σχινδαλάμους μαθήσομαι; 130
ἰτητέον. τί ταῦτ' ἔχων στραγγεύομαι,
ἀλλ' οὐχὶ κόπτω τὴν θύραν; παῖ, παιδίον.
ΜΑΘ. βάλλ' ἐς κόρακας· τίς ἐσθ' ὁ κόψας τὴν θύραν;
ΣΤΡ. Φείδωνος υἱὸς Στρεψιάδης Κικυννόθεν.
ΜΑΘ. ἀμαθής γε νὴ Δί', ὅστις οὕτωσὶ σφόδρα 135
ἀπεριμερίμνως τὴν θύραν λελάκτικας
καὶ φροντίδ' ἐξήμβλωκας ἐξευρημένην.
ΣΤΡ. σύγγνωθί μοι· τηλοῦ γὰρ οἰκῶ τῶν ἀγρῶν.
ἀλλ' εἰπέ μοι τὸ πρᾶγμα τοὐξημβλωμένον.
ΜΑΘ. ἀλλ' οὐ θέμις πλὴν τοῖς μαθηταῖσιν λέγειν. 140
ΣΤΡ. λέγε νυν ἐμοὶ θαρρῶν· ἐγὼ γὰρ οὑτοσί
ἥκω μαθητὴς εἰς τὸ φροντιστήριον.
ΜΑΘ. λέξω. νομίσαι δὲ ταῦτα χρὴ μυστήρια.
ἀνήρετ' ἄρτι Χαιρεφῶντα Σωκράτης
ψύλλαν, ὁπόσους ἅλλοιτο τοὺς αὑτῆς πόδας· 145
δακοῦσα γὰρ τοῦ Χαιρεφῶντος τὴν ὀφρύν
ἐπὶ τὴν κεφαλὴν τὴν Σωκράτους ἀφήλατο.
ΣΤΡ. πῶς τοῦτο διεμέτρησε; ΜΑΘ. δεξιώτατα.
κηρὸν διατήξας, εἶτα τὴν ψύλλαν λαβὼν
ἐνέβαψεν εἰς τὸν κηρὸν αὐτῆς τὼ πόδε, 150
κἆτα ψυγείσῃ περιέφυσαν Περσικαί.
ταύτας ὑπολύσας ἀνεμέτρει τὸ χωρίον.
ΣΤΡ. ὦ Ζεῦ βασιλεῦ τῆς λεπτότητος τῶν φρενῶν.
ΜΑΘ. τί δῆτ' ἄν, ἕτερον εἰ πύθοιο Σωκράτους

Digitized by Google

φρόντισμα; ΣΤΡ. ποῖον; ἀντιβολῶ, κάτειπέ μοι.
ΜΑΘ. ἀνήρετ' αὐτὸν Χαιρεφῶν ὁ Σφήττιος, 156
ὁπότερα τὴν γνώμην ἔχοι τὰς ἐμπίδας
κατὰ τὸ στόμ' ᾄδειν ἢ κατὰ τοὐρροπύγιον.
ΣΤΡ. τί δῆτ' ἐκεῖνος εἶπε περὶ τῆς ἐμπίδος;
ΜΑΘ. ἔφασκεν εἶναι τοὔντερον τῆς ἐμπίδος 160
στενόν· διὰ λεπτοῦ δ' ὄντος αὐτοῦ τὴν πνοὴν
βίᾳ βαδίζειν εὐθὺ τοὐρροπυγίου,
ἔπειτα κοῖλον πρὸς στενῷ προσκείμενον
τὸν πρωκτὸν ἠχεῖν ὑπὸ βίας τοῦ πνεύματος.
ΣΤΡ. σάλπιγξ ὁ πρωκτός ἐστιν ἄρα τῶν ἐμπίδων. 165
ὦ τρισμακάριος τοῦ διεντερεύματος.
ἦ ῥᾳδίως φεύγων ἂν ἀποφύγοι δίκην
ὅστις δίοιδε τοὔντερον τῆς ἐμπίδος.
ΜΑΘ. πρώην δέ γε γνώμην μεγάλην ἀφηρέθη
ὑπ' ἀσκαλαβώτου. ΣΤΡ. τίνα τρόπον; κάτειπέ μοι.
ΜΑΘ. ζητοῦντος αὐτοῦ τῆς σελήνης τὰς ὁδούς 171
καὶ τὰς περιφοράς, εἶτ' ἄνω κεχηνότος
ἀπὸ τῆς ὀροφῆς νύκτωρ γαλεώτης κατέχεσεν.
ΣΤΡ. ἥσθην γαλεώτῃ καταχέσαντι Σωκράτους.
ΜΑΘ. ἐχθὲς δέ γ' ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας. 175
ΣΤΡ. εἶεν· τί οὖν πρὸς τἄλφιτ' ἐπαλαμήσατο;
ΜΑΘ. κατὰ τῆς τραπέζης καταπάσας λεπτὴν τέφραν,
κάμψας ὀβελίσκον, εἶτα διαβήτην λαβὼν
ἐκ τῆς παλαίστρας * ἁρμαλιὰν ὑφείλετο.
ΣΤΡ. τί δῆτ' ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν; 180
ἄνοιγ', ἄνοιγ' ἀνύσας τὸ φροντιστήριον
καὶ δεῖξον ὡς τάχιστά μοι τὸν Σωκράτην·
μαθητιῶ γάρ. ἀλλ' ἄνοιγε τὴν θύραν.
ὦ Ἡράκλεις, ταυτὶ ποδαπὰ τὰ θηρία;

Digitized by Google

ΜΑΘ. τί ἐθαύμασας; τῷ σοι δοκοῦσιν εἰκέναι; 185
ΣΤΡ. τοῖς ἐκ Πύλου ληφθεῖσι, τοῖς Λακωνικοῖς.
ἀτὰρ τί ποτ' ἐς τὴν γῆν βλέπουσιν οὑτοιΐ;
ΜΑΘ. ζητοῦσιν οὗτοι τὰ κατὰ γῆς. ΣΤΡ. βολβοὺς ἄρα
ζητοῦσι. μή νυν τοῦτό γ' ἔτι φροντίζετε·
ἐγὼ γὰρ οἶδ' ἵν' εἰσὶ μεγάλοι καὶ καλοί. 190
τί γὰρ οἶδε δρῶσιν οἱ σφόδρ' ἐγκεκυφότες;
ΜΑΘ. οὗτοι δ' ἐρεβοδιφῶσιν ὑπὸ τὸν Τάρταρον.
ΣΤΡ. τί δῆθ' ὁ πρωκτὸς ἐς τὸν οὐρανὸν βλέπει;
ΜΑΘ. αὐτὸς καθ' αὑτὸν ἀστρονομεῖν διδάσκεται.
ἀλλ' εἴσιθ', ἵνα μὴ 'κεῖνος ὑμῖν ἐπιτύχῃ. 195
ΣΤΡ. μήπω γε, μήπω γ'· ἀλλ' ἐπιμεινάντων, ἵνα
αὐτοῖσι κοινώσω τι πραγμάτιον ἐμόν.
ΜΑΘ. ἀλλ' οὐχ οἷόν τ' αὐτοῖσι πρὸς τὸν ἀέρα
ἔξω διατρίβειν πολὺν ἄγαν ἐστὶν χρόνον.
ΣΤΡ. πρὸς τῶν θεῶν, τί γὰρ τάδ' ἐστίν; εἰπέ μοι. 200
ΜΑΘ. ἀστρονομία μὲν αὑτηΐ. ΣΤΡ. τουτὶ δὲ τί;
ΜΑΘ. γεωμετρία. ΣΤΡ. τοῦτ' οὖν τί ἐστι χρήσιμον;
ΜΑΘ. γῆν ἀναμετρεῖσθαι. ΣΤΡ. πότερα τὴν κληρουχικήν;
ΜΑΘ. οὔκ, ἀλλὰ τὴν σύμπασαν. ΣΤΡ. ἀστεῖον λέγεις·
τὸ γὰρ σόφισμα δημοτικὸν καὶ χρήσιμον. 205
ΜΑΘ. αὕτη δέ σοι γῆς περίοδος πάσης. ὁρᾷς;
αἵδε μὲν Ἀθῆναι. ΣΤΡ. τί σὺ λέγεις; οὐ πείθομαι,
ἐπεὶ δικαστὰς οὐχ ὁρῶ καθημένους.
ΜΑΘ. ὡς τοῦτ' ἀληθῶς Ἀττικὸν τὸ χωρίον.
ΣΤΡ. καὶ ποῦ Κικυννῆς εἰσιν, οὗμοὶ δημόται; 210
ΜΑΘ. ἐνταῦθ' ἔνεισιν. ἡ δέ γ' Εὔβοι', ὡς ὁρᾷς,
ἠδὶ παρατέταται μακρὰ πόρρω πάνυ.
ΣΤΡ. οἶδ'· ὑπὸ γὰρ ἡμῶν παρετάθη καὶ Περικλέους.

Digitized by Google

ἀλλ' ἡ Λακεδαίμων ποῦ 'στιν; ΜΑΘ. ὅπου
'στίν; αὐτηί.
ΣΤΡ. ὡς ἐγγὺς ἡμῶν. τοῦτο μέγα φροντίζετε, 215
ταύτην ἀφ' ἡμῶν ἀπαγαγεῖν πόρρω πάνυ.
ΜΑΘ. ἀλλ' οὐχ οἷόν τε. ΣΤΡ. νὴ Δί' οἰμώξεσθ' ἄρα.
φέρε τίς γὰρ οὗτος οὐπὶ τῆς κρεμάθρας ἀνήρ;
ΜΑΘ. αὐτός. ΣΤΡ. τίς αὐτός; ΜΑΘ. Σωκράτης.
ΣΤΡ. ὦ Σώκρατες.
ἴθ' οὗτος, ἀναβόησον αὐτόν μοι μέγα. 220
ΜΑΘ. αὐτὸς μὲν οὖν σὺ κάλεσον· οὐ γάρ μοι σχολή.
ΣΤΡ. ὦ Σώκρατες,
ὦ Σωκρατίδιον. ΣΩ. τί με καλεῖς, ὦ 'φήμερε;
ΣΤΡ. πρῶτον μὲν ὅ τι δρᾷς, ἀντιβολῶ, κάτειπέ μοι.
ΣΩ. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον. 225
ΣΤΡ. ἔπειτ' ἀπὸ ταρροῦ τοὺς θεοὺς ὑπερφρονεῖς,
ἀλλ' οὐκ ἀπὸ τῆς γῆς, εἴπερ; ΣΩ. οὐ γὰρ ἄν ποτε
ἐξεῦρον ὀρθῶς τὰ μετέωρα πράγματα,
εἰ μὴ κρεμάσας τὸ νόημα καὶ τὴν φροντίδα
λεπτὴν καταμίξας εἰς τὸν ὅμοιον ἀέρα. 230
εἰ δ' ὧν χαμαὶ τἄνω κάτωθεν ἐσκόπουν,
οὐκ ἄν ποθ' εὗρον· οὐ γὰρ ἀλλ' ἡ γῆ βίᾳ
ἕλκει πρὸς αὑτὴν τὴν ἰκμάδα τῆς φροντίδος.
πάσχει δὲ ταὐτὸ τοῦτο καὶ τὰ κάρδαμα.
ΣΤΡ. τί φῄς; 235
ἡ φροντὶς ἕλκει τὴν ἰκμάδ' εἰς τὰ κάρδαμα;
ἴθι νυν, κατάβηθ', ὦ Σωκρατίδιον, ὡς ἐμέ,
ἵνα με διδάξῃς ὧνπερ οὕνεκ' ἐλήλυθα.
ΣΩ. ἦλθες δὲ κατὰ τί; ΣΤΡ. βουλόμενος μαθεῖν
λέγειν.
ὑπὸ γὰρ τόκων χρήστων τε δυσκολωτάτων 240

Digitized by Google

ἄγομαι, φέρομαι, τὰ χρήματ' ἐνεχυράζομαι.
ΣΩ. πόθεν δ' ὑπόχρεως σαυτὸν ἔλαθες γενόμενος;
ΣΤΡ. νόσος μ' ἐπέτριψεν ἱππική, δεινὴ φαγεῖν.
ἀλλά με δίδαξον τὸν ἕτερον τοῖν σοῖν λόγοιν,
τὸν μηδὲν ἀποδιδόντα. μισθὸν δ', ὅντιν' ἂν 245
πράττῃ μ', ὀμοῦμαί σοι καταθήσειν τοὺς θεούς.
ΣΩ. ποίους θεοὺς ὀμεῖ σύ; πρῶτον γὰρ θεοί
ἡμῖν νόμισμ' οὐκ ἔστι. ΣΤΡ. τῷ γὰρ † ὄμνυτ'; ἢ
σιδαρέοισιν, ὥσπερ ἐν Βυζαντίῳ;
ΣΩ. βούλει τὰ θεῖα πράγματ' εἰδέναι σαφῶς 250
ἅττ' ἐστὶν ὀρθῶς; ΣΤΡ. νὴ Δί', εἴπερ ἔστι γε.
ΣΩ. καὶ ξυγγενέσθαι ταῖς Νεφέλαισιν ἐς λόγους,
ταῖς ἡμετέραισι δαίμοσιν; ΣΤΡ. μάλιστά γε.
ΣΩ. κάθιζε τοίνυν ἐπὶ τὸν ἱερὸν σκίμποδα.
ΣΤΡ. ἰδού, κάθημαι. ΣΩ. τουτονὶ τοίνυν λαβέ 255
τὸν στέφανον. ΣΤΡ. ἐπὶ τί στέφανον; οἴμοι, Σώκρατες,
ὥσπερ με τὸν Ἀθάμαντ' ὅπως μὴ θύσετε.
ΣΩ. οὔκ, ἀλλὰ ταῦτα πάντα τοὺς τελουμένους
ἡμεῖς ποιοῦμεν. ΣΤΡ. εἶτα δὴ τί κερδανῶ;
ΣΩ. λέγειν γενήσει τρῖμμα, κρόταλον, παιπάλη. 260
ἀλλ' ἔχ' ἀτρεμεί. ΣΤΡ. μὰ τὸν Δί' οὐ ψεύσει γέ με·
καταπαττόμενος γὰρ παιπάλη γενήσομαι.
ΣΩ. εὐφημεῖν χρὴ τὸν πρεσβύτην καὶ τῆς εὐχῆς ἐπακούειν.
ὦ δέσποτ' ἄναξ, ἀμέτρητ' Ἀήρ, ὃς ἔχεις τὴν γῆν μετέωρον,

---

v. 263—274 tetrametri anap. catalectici.

Digitized by Google

λαμπρός τ' Αἰθὴρ σεμναί τε θεαί, Νεφέλαι βροντησικέραυνοι, 265
ἄρθητε, φάνητ', ὦ δέσποιναι, τῷ φροντιστῇ μετέωροι.

ΣΤΡ. μήπω, μήπω γε, πρὶν ἂν τουτὶ πτύξωμαι, μὴ καταβρεχθῶ.
τὸ δὲ μηδὲ κυνῆν οἴκοθεν ἐλθεῖν ἐμὲ τὸν κακοδαίμον' ἔχοντα.

ΣΩ. ἔλθετε δῆτ', ὦ πολυτίμητοι Νεφέλαι, τῷδ' εἰς ἐπίδειξιν·
εἴτ' ἐπ' Ὀλύμπου κορυφαῖς ἱεραῖς χιονοβλήτοισι κάθησθε, 270
εἴτ' Ὠκεανοῦ πατρὸς ἐν κήποις ἱερὸν χορὸν ἵστατε Νύμφαις,
εἴτ' ἄρα Νείλου προχοαῖς ὑδάτων χρυσέαις ἀρύεσθε πρόχοισιν,
ἢ Μαιῶτιν λίμνην ἔχετ' ἢ σκόπελον νιφόεντα Μίμαντος·
ὑπακούσατε δεξάμεναι θυσίαν καὶ τοῖς ἱεροῖσι χαρεῖσαι.

Ἔξοδος [v. 1321—1510].

Senex ubi se ad discendum parum idoneum intellexit, minis precibusque filium tandem perpulit, ut is se in disciplinam Socratis tradi pateretur; ab isto evocati altercantur coram Phidippida iustus orator iniustusque: hic adversarium captiose dicendo superat. Discipulus vero magistri artem tam penitus pernoscit, ut leges ac iudicia eludere posse videatur. Itaque faeneratores pecuniam exigentes a Strepsiade insolenter propulsantur. Sed eius laetitia in dolorem atque iram vertitur, simulac filius inverecundus contra patrem ipsum sapientiae vim adhibere coepit.

Digitized by Google

ΣΤΡ. Ἰοὺ ἰού. 1321
ὦ γείτονες καὶ ξυγγενεῖς καὶ δημόται,
ἀμυνάθετέ μοι τυπτομένῳ πάσῃ τέχνῃ.
οἴμοι κακοδαίμων τῆς κεφαλῆς καὶ τῆς γνάθου.
ὦ μιαρέ, τύπτεις τὸν πατέρα; ΦΕΙ. φήμ', ὦ πάτερ. 1325
ΣΤΡ. ὁρᾶθ' ὁμολογοῦνθ' ὅτι με τύπτει. ΦΕΙ. καὶ μάλα.
ΣΤΡ. ὦ μιαρὲ καὶ πατραλοῖα καὶ τοιχωρύχε.
ΦΕΙ. αὖθίς με ταὐτὰ ταῦτα καὶ πλείω λέγε.
ἆρ' οἶσθ' ὅτι χαίρω πόλλ' ἀκούων καὶ κακά; — —
ΣΤΡ. τὸν πατέρα τύπτεις; ΦΕΙ. κἀποφανῶ γε νὴ Δία
ὡς ἐν δίκῃ σ' ἔτυπτον. ΣΤΡ. ὦ μιαρώτατε,
καὶ πῶς γένοιτ' ἂν πατέρα τύπτειν ἐν δίκῃ;
ΦΕΙ. ἔγωγ' ἀποδείξω καί σε νικήσω λέγων.
ΣΤΡ. τουτὶ σὺ νικήσεις; ΦΕΙ. πολύ γε καὶ ῥᾳδίως. 1335
ἑλοῦ δ' ὁπότερον τοῖν λόγοιν βούλει λέγειν.
ΣΤΡ. ποίοιν λόγοιν; ΦΕΙ. τὸν κρείττον' ἢ τὸν ἥττονα.
ΣΤΡ. ἐδιδαξάμην μέντοι σε νὴ Δί', ὦ μέλε,
τοῖσιν δικαίοις ἀντιλέγειν, εἰ ταῦτά γε
μέλλεις ἀναπείσειν, ὡς δίκαιον καὶ καλόν 1340
τὸν πατέρα τύπτεσθ' ἐστὶν ὑπὸ τῶν υἱέων.
ΦΕΙ. ἀλλ' οἶμαι μέντοι σ' ἀναπείσειν, ὥστε γε
οὐδ' αὐτὸς ἀκροασάμενος οὐδὲν ἀντερεῖς.
ΣΤΡ. καὶ μὴν ὅ τι καὶ λέξεις ἀκοῦσαι βούλομαι.

Στροφή.

ΧΟΡ. σὸν ἔργον, ὦ πρεσβῦτα, φροντίζειν ὅπῃ 1345

Str. v. 1345—1350 = Antistr. v. 1391—1396.

Incipit stropha a trimetro iambico, quem προσοδιακός huiusmodi: ⏑ – ⏑ ⏑ – ⏑ excipit. Senarius ac prosodiacus coniuncti in cantico ter usurpantur.

Digitized by Google

τὸν ἄνδρα κρατήσεις·
ὡς οὗτος, εἰ μή τῳ 'πεποίθειν, οὐκ ἂν ἦν
οὕτως ἀκόλαστος.
ἀλλ' ἔσθ' ὅτῳ θρασύνεται· δῆλόν γ' ὅτι
λῆμ' ἐστὶ * πανοῦργον. 1350
ἀλλ' ἐξ ὅτου τὸ πρῶτον ἤρξαθ' ἡ μάχη γενέσθαι
ἤδη λέγειν πρὸς τὸν χορόν· πάντως δὲ τοῦτο
δράσεις.

ΣΤΡ. καὶ μὴν ὅθεν γε πρῶτον ἠρξάμεσθα λοιδορεῖσθαι
ἐγὼ φράσω. 'πειδὴ γὰρ εἱστιώμεθ', ὥσπερ ἴστε,
πρῶτον μὲν αὐτὸν τὴν λύραν λαβόντ' ἐγὼ 'κέ-
λευσα 1355
ᾆσαι Σιμωνίδου μέλος, τὸν Κριὸν ὡς ἐπέχθη.
ὁ δ' εὐθέως ἀρχαῖον εἶν' ἔφασκε τὸ κιθαρίζειν
ᾄδειν τε πίνονθ', ὡσπερεὶ κάχρυς γυναῖκ' ἀ-
λοῦσαν.

ΦΕΙ. οὐ γὰρ τότ' εὐθὺς χρῆν σ' ἄρα τύπτεσθαί τε
καὶ πατεῖσθαι,
ᾄδειν κελεύονθ', ὡσπερεὶ τέττιγας ἑστιῶντα; 1360

ΣΤΡ. τοιαῦτα μέντοι καὶ τότ' ἔλεγεν ἔνδον, οἷάπερ νῦν,
καὶ τὸν Σιμωνίδην ἔφασκ' εἶναι κακὸν ποιητήν.
κἀγὼ μόλις μέν, ἀλλ' ὅμως ἠνεσχόμην τὸ πρῶτον·
ἔπειτα δ' ἐκέλευσ' αὐτὸν ἀλλὰ μυρρίνην λαβόντα,
* ἐγὼ γὰρ Αἰσχύλον νομίζω πρῶτον ἐν ποιηταῖς,
τῶν Αἰσχύλου λέξαι τί μοι· κᾆθ' οὗτος εὐθὺς
εἶπεν 1366
ψόφου πλέων, ἀξύστατον, στόμφακα, κρημνο-
ποιόν.

---

v. 1351 — 1383 tetrametri iambici catalectici.

Digitized by Google

κἀνταῦθα πῶς οἴεσθέ μου τὴν καρδίαν ὀρεχθεῖν;
ὅμως δὲ τὸν θυμὸν δακὼν ἔφην· σὺ δ' ἀλλὰ τούτων
λέξον τι τῶν νεωτέρων, ἅττ' ἐστὶ τὰ σοφὰ ταῦτα.
ὁ δ' εὐθὺς ᾖσ' Εὐριπίδου ῥῆσίν τιν', ὡς ἐκίνει 1371
ἀδελφός, ὦ 'λεξίκακε, τὴν ὁμομητρίαν ἀδελφήν.
κἀγὼ οὐκέτ' ἐξηνεσχόμην, ἀλλ' εὐθὺς ἐξαράττω
πολλοῖς κακοῖς καὶσχροῖσι· κᾆτ' ἐντεῦθεν, οἷον εἰκός,
ἔπος πρὸς ἔπος ἠρειδόμεσθ'· εἶθ' οὗτος ἐπαναπηδᾷ 1375
κἄπειτ' ἔφλα με κἀσπόδει κἄπνιγε κἀπέτριβεν.

ΦΕΙ. οὔκουν δικαίως, ὅστις οὐκ Εὐριπίδην ἐπαινεῖς,
σοφώτατον; ΣΤΡ. σοφώτατόν γ' ἐκεῖνον, ὦ — τί σ' εἴπω;
ἀλλ' αὖθις αὖ τυπτήσομαι. ΦΕΙ. νὴ τὸν Δί',
ἐν δίκῃ γ' ἄν.

ΣΤΡ. καὶ πῶς δικαίως; ὅστις ὦ 'ναίσχυντέ σ' ἐξέθρεψα,
αἰσθανόμενός σου πάντα τραυλίζοντος, ὅ τι νοοίης. 1381
εἰ μέν γε βρῦν εἔποις, ἐγὼ γνοὺς ἂν πιεῖν ἐπέσχον·
μαμμᾶν δ' ἂν αἰτήσαντος, ἦπόν σοι φέρων ἂν ἄρτον. — —

Ἀντιστρ.

ΧΟΡ. οἰμαί γε τῶν νεωτέρων τὰς καρδίας 1391
πηδᾶν ὅ τι λέξει.
εἰ γὰρ τοιαῦτά γ' οὗτος ἐξειργασμένος
λαλῶν ἀναπείσει,

Digitized by Google

τὸ δέρμα τῶν γεραιτέρων λάβοιμεν ἄν 1395
ἀλλ' οὐδ' ἐρεβίνθου.
σὸν ἔργον, ὦ καινῶν ἐπῶν κινητὰ καὶ μοχλευτά,
πειθώ τινα ζητεῖν, ὅπως δόξεις λέγειν δίκαια.
ΦΕΙ. ὡς ἡδὺ καινοῖς πράγμασιν καὶ δεξιοῖς ὁμιλεῖν
καὶ τῶν καθεστώτων νόμων ὑπερφρονεῖν δύνα-
σθαι. 1400
ἐγὼ γὰρ ὅτε μὲν ἱππικῇ τὸν νοῦν μόνον προσ-
εῖχον,
οὐδ' ἂν τρί' εἰπεῖν ῥήμαθ' οἷός τ' ἦν πρὶν ἐξα-
μαρτεῖν·
νυνὶ δ' ἐπειδή μ' οὗτοσὶ τούτων ἔπαυσεν αὐτός,
γνώμαις δὲ λεπταῖς καὶ λόγοις ξύνειμι καὶ με-
ρίμναις, 1404
οἶμαι διδάξειν ὡς δίκαιον τὸν πατέρα κολάζειν.
ΣΤΡ. ἵππευε τοίνυν νὴ Δί', ὡς ἔμοιγε κρεῖττόν ἐστιν
ἵππων τρέφειν τέθριππον ἢ τυπτόμενον ἐπιτρι-
βῆναι.
ΦΕΙ. ἐκεῖσε δ' ὅθεν ἀπέσχισάς με τοῦ λόγου μέτειμι
καὶ πρῶτ' ἐρήσομαί σε τουτί· παῖδά μ' ὄντ'
ἔτυπτες;
ΣΤΡ. ἔγωγέ σ', εὐνοῶν γε καὶ κηδόμενος. ΦΕΙ. εἰπὲ
δή μοι· 1410
οὐ κἀμὲ σοὶ δίκαιόν ἐστιν εὐνοεῖν ὁμοίως
τύπτειν τ', ἐπειδήπερ γε τοῦτ' ἔστ' εὐνοεῖν, τὸ
τύπτειν;
πῶς γὰρ τὸ μὲν σὸν σῶμα χρὴ πληγῶν ἀθῷον
εἶναι,

---

v. 1397—1444 tetram. iamb. catal. immixto senario v. 1415.

Digitized by Google

τοὐμὸν δὲ μή; καὶ μὴν ἔφυν ἐλεύθερός γε κἀγώ.
κλάουσι παῖδες, πατέρα δ' οὐ κλάειν δοκεῖς; 1415
φήσεις νομίζεσθαι σὺ παιδὸς τοῦτο τοὔργον εἶναι·
ἐγὼ δέ γ' ἀντείποιμ' ἂν ὡς δὶς παῖδες οἱ γέροντες.
εἰκὸς δὲ μᾶλλον τοὺς γέροντας * τοῦ νέου 'στὶ κλάειν,
ὅσῳπερ ἐξαμαρτάνειν ἧττον δίκαιον αὐτούς.
ΣΤΡ. ἀλλ' οὐδαμοῦ νομίζεται τὸν πατέρα τοῦτο πάσχειν.
ΦΕΙ. οὔκουν ἀνὴρ ὁ τὸν νόμον θεὶς τοῦτον ἦν τὸ πρῶτον, 1421
ὥσπερ σὺ κἀγώ, καὶ λέγων ἔπειθε τοὺς παλαιούς;
ἧττόν τι δῆτ' ἔξεστι κἀμοὶ καινὸν αὖ τὸ λοιπὸν
θεῖναι νόμον τοῖς υἱέσιν, τοὺς πατέρας ἀντιτύπτειν; 1424
ὅσας δὲ πληγὰς εἴχομεν πρὶν τὸν νόμον τεθῆναι,
ἀφίεμεν καὶ δίδομεν αὐτοῖς προῖκα συγκεκόφθαι.
σκέψαι δὲ τοὺς ἀλεκτρυόνας καὶ τἆλλα τὰ βοτὰ ταυτί,
ὡς τοὺς πατέρας ἀμύνεται· καίτοι τί διαφέρουσιν
ἡμῶν ἐκεῖνοι, πλὴν ὅτι ψηφίσματ' οὐ γράφουσιν;
ΣΤΡ. τί δῆτ', ἐπειδὴ τοὺς ἀλεκτρυόνας ἅπαντα μιμεῖ,
οὐκ ἐσθίεις καὶ τὴν κόπρον κἀπὶ ξύλου καθεύδεις; 1431
ΦΕΙ. οὐ ταυτόν, ὦ τάν, ἐστίν, οὐδ' ἂν Σωκράτει δοκοίη.
ΣΤΡ. πρὸς ταῦτα μὴ τύπτ'· εἰ δὲ μή, σαυτόν ποτ' αἰτιάσει.
ΦΕΙ. καὶ πῶς; ΣΤΡ. ἐπεὶ σὲ μὲν δίκαιός εἰμ' ἐγὼ κολάζειν,
σὺ δ', ἢν γένηταί σοι, τὸν υἱόν. ΦΕΙ. ἢν δὲ μὴ γένηται, 1435

Digitized by Google

μάτην ἐμοὶ κεκλαύσεται, σὺ δ' ἐγχανὼν τεθνήξεις.
ΣΤΡ. ἐμοὶ μέν, ὦνδρες ἥλικες, δοκεῖ λέγειν δίκαια,
κἄμοιγε συγχωρεῖν δοκεῖ τούτοισι τἀπιεικῆ.
κλάειν γὰρ ἡμᾶς εἰκός ἐστ', ἢν μὴ δίκαια δρῶμεν.
ΦΕΙ. σκέψαι δὲ χἀτέραν ἔτι γνώμην. ΣΤΡ. ἀπὸ γὰρ ὀλοῦμαι. 1440
ΦΕΙ. καὶ μὴν ἴσως γ' οὐκ ἀχθέσει παθὼν ἃ νῦν πέπονθας.
ΣΤΡ. πῶς δή; δίδαξον γὰρ τί μ' ἐκ τούτων ἐπωφελήσεις.
ΦΕΙ. τὴν μητέρ' ὥσπερ καὶ σὲ τυπτήσω. ΣΤΡ. τί φῄς; τί φῄς σύ;
τοῦθ' ἕτερον αὖ μεῖζον κακόν. ΦΕΙ. τί δ', ἢν ἔχων τὸν ἥττω
λόγον σε νικήσω λέγων 1445
τὴν μητέρ' ὡς τύπτειν χρεών;
ΣΤΡ. τί δ' ἄλλο γ' ἤ, ταῦτ' ἢν ποιῇς,
οὐδέν σε κωλύσει σεαυ-
τὸν ἐμβαλεῖν ἐς τὸ βάραθρον
μετὰ Σωκράτους 1450
καὶ τὸν λόγον τὸν ἥττω;
ταυτὶ δι' ὑμᾶς, ὦ Νεφέλαι, πέπονθ' ἐγώ,
ὑμῖν ἀναθεὶς ἅπαντα τἀμὰ πράγματα.
ΧΟΡ. αὐτὸς μὲν οὖν σαυτῷ σὺ τούτων αἴτιος,
στρέψας σεαυτὸν ἐς πονηρὰ πράγματα. 1455
ΣΤΡ. τί δῆτα ταῦτ' οὔ μοι τότ' ἠγορεύετε,
ἀλλ' ἄνδρ' ἄγροικον καὶ γέροντ' ἐπῄρετε;
ΧΟΡ. ἡμεῖς ποιοῦμεν ταῦθ' ἑκάστοθ' ὅντιν' ἂν
γνῶμεν πονηρῶν ὄντ' ἐραστὴν πραγμάτων,

v. 1445—1451 systema iambicum.

Digitized by Google

ἕως ἂν αὐτὸν ἐμβάλωμεν εἰς κακόν, 1460
ὅπως ἂν εἰδῇ τοὺς θεοὺς δεδοικέναι.
ΣΤΡ. οἴμοι, πονηρά γ', ὦ Νεφέλαι, δίκαια δέ·
οὐ γάρ μ' ἐχρῆν τὰ χρήμαθ' ἁδανεισάμην
ἀποστερεῖν. νῦν οὖν ὅπως, ὦ φίλτατε,
τὸν Χαιρεφῶντα τὸν μιαρὸν καὶ Σωκράτην 1465
ἀπολεῖς μετελθών, οἳ σὲ κἄμ' ἐξηπάτων.
ΦΕΙ. ἀλλ' οὐκ ἂν ἀδικήσαιμι τοὺς διδασκάλους.
ΣΤΡ. ναὶ ναί, καταιδέσθητι πατρῷον Δία.
ΦΕΙ. ἰδού γε Δία πατρῷον· ὡς ἀρχαῖος εἶ.
Ζεὺς γάρ τις ἔστιν; ΣΤΡ. ἔστιν. ΦΕΙ. οὐκ ἔστ', οὔκ, ἐπεί 1470
Δῖνος βασιλεύει τὸν Δί' ἐξεληλακώς.
ΣΤΡ. οὐκ ἐξελήλακ', ἀλλ' ἐγὼ τοῦτ' ᾠόμην
διὰ τουτονὶ τὸν Δῖνον. οἴμοι δείλαιος,
ὅτε καὶ σὲ χυτρεοῦν ὄντα θεὸν ἡγησάμην.
ΦΕΙ. ἐνταῦθα σαυτῷ παραφρόνει καὶ φληνάφα. 1475
ΣΤΡ. οἴμοι παρανοίας· ὡς ἐμαινόμην ἄρα,
ὅτ' ἐξέβαλλον τοὺς θεοὺς διὰ Σωκράτην.
ἀλλ', ὦ φίλ' Ἑρμῆ, μηδαμῶς θύμαινέ μοι
μηδέ μ' ἐπιτρίψῃς, ἀλλὰ συγγνώμην ἔχε
ἐμοῦ παρανοήσαντος ἀδολεσχίᾳ· 1480
καί μοι γενοῦ ξύμβουλος, εἴτ' αὐτοὺς γραφήν
διωκάθω γραψάμενος, εἴθ' ὅ τι σοι δοκεῖ.
ὀρθῶς παραινεῖς οὐκ ἐῶν δικορραφεῖν,
ἀλλ' ὡς τάχιστ' ἐμπιμπράναι τὴν οἰκίαν
τῶν ἀδολεσχῶν. δεῦρο δεῦρ', ὦ Ξανθία, 1485
κλίμακα λαβὼν ἔξελθε καὶ σμινύην φέρων·
κἄπειτ' ἐπαναβὰς ἐπὶ τὸ φροντιστήριον
τὸ τέγος κατάσκαπτ', εἰ φιλεῖς τὸν δεσπότην,

Digitized by Google

ἕως ἂν αὐτοῖς ἐμβάλῃς τὴν οἰκίαν·
ἐμοὶ δὲ δᾷδ' ἐνεγκάτω τις ἡμμένην, 1490
κἀγώ τιν' αὐτῶν τήμερον δοῦναι δίκην
ἐμοὶ ποιήσω, κεἰ σφόδρ' εἰσ' ἀλαζόνες.

ΜΑΘ. ἰοὺ ἰού.

ΣΤΡ. σὸν ἔργον, ὦ δᾷς, ἱέναι πολλὴν φλόγα.

ΜΑΘ. ἄνθρωπε, τί ποιεῖς; ΣΤΡ. ὅ τι ποιῶ; τί δ' ἄλλο γ' ἢ 1495
διαλεπτολογοῦμαι ταῖς δοκοῖς τῆς οἰκίας;

ΜΑΘ. οἴμοι, τίς ἡμῶν πυρπολεῖ τὴν οἰκίαν;

ΣΤΡ. ἐκεῖνος, οὗπερ θοἰμάτιον εἰλήφατε.

ΜΑΘ. ἀπολεῖς, ἀπολεῖς. ΣΤΡ. τοῦτ' αὐτὸ γὰρ καὶ βούλομαι,
ἢν ἡ σμινύη μοι μὴ προδῷ τὰς ἐλπίδας, 1500
ἢ 'γὼ πρότερόν πως ἐκτραχηλισθῶ πεσών.

ΣΩ. οὗτος, τί ποιεῖς ἐτεόν, οὐπὶ τοῦ τέγους;

ΣΤΡ. ἀεροβατῶ καὶ περιφρονῶ τὸν ἥλιον.

ΣΩ. οἴμοι τάλας, δείλαιος ἀποπνιγήσομαι.

ΜΑΘ. ἐγὼ δὲ κακοδαίμων γε κατακαυθήσομαι. 1505

ΣΤΡ. τί γὰρ μαθόντες τοὺς θεοὺς ὑβρίζετε
καὶ τῆς Σελήνης ἐσκοπεῖσθε τὴν ἕδραν;
δίωκε, βάλλε, παῖε, πολλῶν οὕνεκα,
μάλιστα δ' εἰδὼς τοὺς θεοὺς ὡς ἠδίκουν.

ΧΟΡ. ἡγεῖσθ' ἔξω· κεχόρευται γὰρ μετρίως τό γε τήμερον ἡμῖν. 1510

ΒΑΤΡΑΧΟΙ.

Acta est fabula anno 405 a. Chr. Callia Hipponici filio archonte Lenaeis, mense Gamelione, paulo post mortem Euripidis, qui de vita decessit a. 406.

Nub. v. 1510 tetrameter anapaest. catalecticus.

Digitized by Google

Dionysus quoniam Euripidem, delicias suas, in lucem reducere constituit, viam ingreditur ad inferos, quae scire opus duxit ab Hercule edoctus. Stygiam paludem postquam Charontis cumba ad ranarum cantum remigans traiecit, initiatorum choro audito, post varios casus ad ostia Ditis pervenit (Prologus, Episodium I). Forte Aeschylus Euripidesque tum ipsum de throno tragico certare parabant. De instanti contentione ubi Plutonis servus pedisequum Bacchi certiorem fecit (Epis. II), confestim prodeunt poetae tragici cum Plutone ac Dionyso arbitro litis (Epis. III). Iam certamen instituitur tripartitum ita, ut primo de universa fabularum indole agatur, de diverso quod uterque in componendis tragoediis secutus sit consilio (Epis. IV et V), deinde in prologos inquiratur (Epis. VI), denique melica examinentur (Epis. VII). Sed priusquam res diiudicetur, poetae, ut verborum ac sententiarum gravitas ponderetur, ad trutinam accedere iubentur. Ad extremum ubi quid sentirent de Alcibiade, quid tempestate illa reipublicae saluberrimum iudicarent exposuere, Dionysus Aeschylo palmam decernit, quem Plutonis permissu secum Athenas ducit (Epis. VIII, Exodus).

Canticum praemittitur, subiungitur *Ἐπεισόδιον γ'* [v. 814—892].

Στρ. α'.

ΧΟΡ. ἦ που δεινὸν ἐριβρεμέτας χόλον ἔνδοθεν ἕξει,
ἡνίκ' ἂν ὀξύλαλον παρίδῃ θήγοντος ὀδόντα 815
ἀντιτέχνου· τότε δὴ μανίας ὑπὸ δεινῆς
ὄμματα στροβήσεται.

Στρ. β'.

ἔσται δ' ἱπολόφων τε λόγων κορυθαίολα νείκη

Stropha quater repetita.

d ‒ ‒ ‒ ⏑ ‒ ⏑ ‒ ⏑ ‒ ⏑ ‒ ‒
d ‒ ⏑ ‒ ⏑ ‒ ⏑ ‒ ‒ ‒ ⏑ ‒ ⏓
d ‒ ⏑ ‒ ⏑ ‒ ⏑ ‒ ⏑ ‒ ⏓
t ‒ ⏑ ‒ ⏑̄ ‒ ⏑ ⏓

Digitized by Google

σχινδαλάμων τε παραξόνια σμιλεύματά τ' ἔργων,
φωτὸς ἀμυνομένου φρενοτέκτονος ἀνδρός 820
ῥήμαθ' ἱπποβάμονα.

Στρ. γ'.

φρίξας δ' αὐτοκόμου λοφιᾶς λασιαύχενα χαίταν,
δεινὸν ἐπισκύνιον ξυνάγων, βρυχώμενος ἥσει
ῥήματα γομφοπαγῆ, πινακηδὸν ἀποσπῶν
γηγενεῖ φυσήματι· 825

Στρ. δ'.

ἔνθεν δὴ στοματουργὸς ἐπῶν βασανίστρια λίσπη
γλῶσσ', ἀνελισσομένη φθονεροὺς κινοῦσα χαλινούς,
ῥήματα δαιομένη καταλεπτολογήσει
πνευμόνων πολὺν πόνον.

ΕΥΡ. οὐκ ἂν μεθείμην τοῦ θρόνου, μὴ νουθέτει· 830
κρείττων γὰρ εἶναί φημι τούτου τὴν τέχνην.

ΔΙΟ. Αἰσχύλε, τί σιγᾷς; αἰσθάνει γὰρ τοῦ λόγου.

ΕΥΡ. ἀποσεμνυνεῖται πρῶτον, ἅπερ ἑκάστοτε
ἐν ταῖς τραγῳδίαισιν ἐτερατεύετο.

ΔΙΟ. ὦ δαιμόνι' ἀνδρῶν, μὴ μεγάλα λίαν λέγε. 835

ΕΥΡ. ἐγῷδα τοῦτον καὶ διέσκεμμαι πάλαι,
ἄνθρωπον ἀγριοποιόν, αὐθαδόστομον,
ἔχοντ' ἀχάλινον, ἀκρατές, ἀθύρωτον στόμα,
ἀπεριλάλητον, κομποφακελορρήμονα.

ΑΙΣ. ἄληθες, ὦ παῖ τῆς ἀρουραίας θεοῦ; 840
σὺ δή με ταῦτ', ὦ στωμυλιοσυλλεκτάδη
καὶ πτωχοποιὲ καὶ ῥακιοσυρραπτάδη;
ἀλλ' οὔ τι χαίρων αὖτ' ἐρεῖς. ΔΙΟ. παῦ', Αἰσχύλε,
καὶ μὴ πρὸς ὀργὴν σπλάγχνα θερμήνῃς κότῳ.

ΑΙΣ. οὐ δῆτα, πρίν γ' ἂν τοῦτον ἀποφήνω σαφῶς 845

Digitized by Google

τὸν χωλοποιόν, οἷος ὢν θρασύνεται.
ΔΙΟ. ἄρν' ἄρνα μέλανα, παῖδες, ἐξενέγκατε·
τυφὼς γὰρ ἐκβαίνειν παρασκευάζεται.
ΑΙΣ. ὦ Κρητικὰς μὲν συλλέγων μονῳδίας,
γάμους δ' ἀνοσίους εἰσφέρων εἰς τὴν τέχνην, 850
ΔΙΟ. ἐπίσχες οὗτος, ὦ πολυτίμητ' Αἰσχύλε.
ἀπὸ τῶν χαλαζῶν δ', ὦ πονήρ' Εὐριπίδη,
ἄναγε σεαυτὸν ἐκποδών, εἰ σωφρονεῖς,
ἵνα μὴ κεφαλαίῳ τὸν κρόταφόν σου ῥήματι
θεινὼν ὑπ' ὀργῆς ἐκχέῃ τὸν Τήλεφον· 855
σὺ δὲ μὴ πρὸς ὀργήν, Αἰσχύλ', ἀλλὰ πραόνως
ἔλεγχ', ἐλέγχου· λοιδορεῖσθαι δ' οὐ πρέπει
ἄνδρας ποιητὰς ὥσπερ ἀρτοπώλιδας.
σὺ δ' εὐθὺς ὥσπερ πρῖνος ἐμπρησθεὶς βοᾷς.
ΕΥΡ. ἕτοιμός εἰμ' ἔγωγε, κοὐκ ἀναδύομαι, 860
δάκνειν, δάκνεσθαι πρότερος, εἰ τούτῳ δοκεῖ,
τἄπη, τὰ μέλη, τὰ νεῦρα τῆς τραγῳδίας,
καὶ νὴ Δία τὸν Πηλέα γε καὶ τὸν Αἴολον
καὶ τὸν Μελέαγρον κἄτι μάλα τὸν Τήλεφον.
ΔΙΟ. σὺ δὲ δὴ τί βουλεύει ποιεῖν; λέγ', Αἰσχύλε. 865
ΑΙΣ. ἐβουλόμην μὲν οὐκ ἐρίζειν ἐνθάδε·
οὐκ ἐξ ἴσου γάρ ἐστιν ἀγὼν νῷν. ΔΙΟ. τί δαί;
ΑΙΣ. ὅτι ἡ ποίησις οὐχὶ συντέθνηκ' ἐμοί,
τούτῳ δὲ συντέθνηκεν, ὥσθ' ἕξει λέγειν.
ὅμως δ', ἐπειδή σοι δοκεῖ, δρᾶν ταῦτα χρή. 870
ΔΙΟ. ἴθι νυν λιβανωτὸν δεῦρό τις καὶ πῦρ δότω,
ὅπως ἂν εὔξωμαι πρὸ τῶν σοφισμάτων
ἀγῶνα κρῖναι τόνδε μουσικώτατα·
ὑμεῖς δὲ ταῖς Μούσαις τι μέλος ὑπᾴσατε.

Digitized by Google

ΧΟΡ. ὦ Διὸς ἐννέα παρθένοι ἁγναί 875
Μοῦσαι, λεπτολόγους ξυνετὰς φρένας αἳ καθορᾶτε
ἀνδρῶν γνωμοτύπων, ὅταν εἰς ἔριν ὀξυμερίμνοις
ἔλθωσι στρεβλοῖσι παλαίσμασιν ἀντιλογοῦντες,
ἔλθετ' ἐποψόμεναι δύναμιν
δεινοτάτοιν στομάτοιν πορίσασθαι 880
ῥήματα καὶ παραπρίσματ' ἐπῶν.
νῦν γὰρ ἀγὼν σοφίας * ὁ μέγας χωρεῖ πρὸς ἔργον ἤδη.

ΔΙΟ. εὔχεσθε δὴ καὶ σφώ τι, πρὶν τἄπη λέγειν.

ΔΙΣ. Δήμητερ, ἡ θρέψασα τὴν ἐμὴν φρένα,
εἶναί με τῶν σῶν ἄξιον μυστηρίων. 885

ΔΙΟ. ἐπίθες λαβὼν δὴ καὶ σὺ λιβανωτόν. ΕΥΡ. καλῶς·
ἕτεροι γάρ εἰσιν οἷσιν εὔχομαι θεοῖς.

ΔΙΟ. ἴδιοί τινές σου, κόμμα καινόν; ΕΥΡ. καὶ μάλα.

ΔΙΟ. ἴθι δὴ προσεύχου τοῖσιν ἰδιώταις θεοῖς.

ΕΥΡ. αἰθήρ, ἐμὸν βόσκημα, καὶ γλώττης στρόφιγξ
καὶ ξύνεσι καὶ μυκτῆρες ὀσφραντήριοι, 891
ὀρθῶς μ' ἐλέγχειν ὧν ἂν ἅπτωμαι λόγων.

Στρ.

ΧΟΡ. καὶ μὴν ἡμεῖς ἐπιθυμοῦμεν

Canticum v. 875—882.

d – ⏑ – ⏑ – ⏑ – –
d – – – ⏑ – ⏑ – ⏑ – ⏑ – ⏓ ter positus.
d – ⏑ – ⏑ – ⏑ –
d – ⏑ – ⏑ – ⏑ – –
d – ⏑ – ⏑ – ⏑ –
dt – ⏑ – ⏑ – ⏑ – – – ⏑ – ⏑ – –

Stropha v. 893—904 = Antist. v. 992—1003.
Dimetrum anapaesticum sequuntur versus trochaici.

Digitized by Google

παρὰ σοφοῖν ἀνδροῖν ἀκοῦσαί τινα λόγων
ἐμμέλειαν· ἔπιτε δαΐαν ὁδόν. 895
γλῶσσα μὲν γὰρ ἠγρίωται,
λῆμα δ' οὐκ ἄτολμον ἀμφοῖν
οὐδ' ἀκίνητοι φρένες.
προσδοκᾶν οὖν εἰκός ἐστι
τὸν μὲν ἀστεῖόν τι λέξειν 900
καὶ κατερρινημένον,
τὸν δ' ἀνασπῶντ' αὐτοπρέμνοις τοῖς λόγοισιν
ἐμπεσόντα συσκεδᾶν πολλὰς ἀλινδήθρας ἐπῶν.

Ἐπεισόδιον δ' [v. 905—991]; intercedente Cantico [v. 992—1003] subicitur Ἐπεισόδιον ε' [v. 1004—1061].

ἀλλ' ὡς τάχιστα χρὴ λέγειν, οὕτω δ' ὅπως ἐρεῖ-
τον 905
ἀστεῖα καὶ μήτ' εἰκόνας μήθ' οἷ' ἂν ἄλλος εἴποι.
ΕΥΡ. καὶ μὴν ἐμαυτὸν μέν γε, τὴν ποίησιν οἷός εἰμι,
ἐν τοῖσιν ὑστάτοις φράσω, τοῦτον δὲ πρῶτ' ἐλέγξω,
ὡς ἦν ἀλαζὼν καὶ φέναξ οἵοις τε τοὺς θεατάς
ἐξηπάτα, μώρους λαβὼν παρὰ Φρυνίχῳ τραφέν-
τας. 910
πρώτιστα μὲν γὰρ ἕνα τιν' ἂν καθῖσεν ἐγκαλύψας,
Ἀχιλλέα τιν' ἢ Νιόβην, τὸ πρόσωπον οὐχὶ δεικνύς,
πρόσχημα τῆς τραγῳδίας, γρύζοντας οὐδὲ τουτί.
ΔΙΟ. μὰ τὸν Δί' οὐ δῆθ'. ΕΥΡ. ὁ δὲ χορός γ' ἤρειδεν
ὁρμαθοὺς ἄν

v. 905—970 tetrametri iambici catalectici.

Digitized by Google

μελῶν ἐφεξῆς τέτταρας ξυνεχῶς ἄν· οἱ δ' ἐσίγων. 915

ΔΙΟ. ἐγὼ δ' ἔχαιρον τῇ σιωπῇ, καί με τοῦτ' ἔτερπεν
οὐχ ἧττον ἢ νῦν οἱ λαλοῦντες. ΕΥΡ. ἠλίθιος γὰρ ἦσθα,
σάφ' ἴσθι. ΔΙΟ. κἀμαυτῷ δοκῶ. τί δὲ ταῦτ' ἔδρασ' ὁ δεῖνα;

ΕΥΡ. ὑπ' ἀλαζονείας, ἵν' ὁ θεατὴς προσδοκῶν καθῆτο,
ὁπόθ' ἡ Νιόβη τι φθέγξεται· τὸ δρᾶμα δ' ἂν διῄει. 920

ΔΙΟ. ὦ παμπόνηρος, οἷ' ἄρ' ἐφενακιζόμην ὑπ' αὐτοῦ.
τί σκορδινᾷ καὶ δυσφορεῖς; ΕΥΡ. ὅτι αὐτὸν ἐξελέγχω.
κἄπειτ' ἐπειδὴ ταῦτα ληρήσειε καὶ τὸ δρᾶμα
ἤδη μεσοίη, ῥήματ' ἂν βόεια δώδεκ' εἶπεν,
ὀφρῦς ἔχοντα καὶ λόφους, δεῖν' ἄττα μορμορῶπά, 925
ἄγνωστα τοῖς θεωμένοις. ΑΙΣ. οἴμοι τάλας. ΔΙΟ. σιώπα.

ΕΥΡ. σαφὲς δ' ἂν εἶπεν οὐδὲ ἕν, ΔΙΟ. μὴ πρῖε τοὺς ὀδόντας.

ΕΥΡ. ἀλλ' ἢ Σκαμάνδρους ἢ τάφρους ἢ 'π' ἀσπίδων ἐπόντας
γρυπαέτους χαλκηλάτους καὶ ῥήμαθ' ἱππόκρημνα,
ἃ ξυμβαλεῖν οἱ ῥᾴδι' ἦν. ΔΙΟ. νὴ τοὺς θεούς, ἐγὼ γοῦν 930
ἤδη ποτ' ἐν μακρῷ χρόνῳ νυκτὸς διηγρύπνησα
τὸν ξουθὸν ἱππαλεκτρυόνα ζητῶν, τίς ἐστιν ὄρνις.

ΑΙΣ. σημεῖον ἐν ταῖς ναυσίν, ὦ μαθέστατ', ἐνεγέγραπτο.

ΔΙΟ. ἐγὼ δὲ τὸν Φιλοξένου γ' ᾤμην Ἔρυξιν εἶναι.

Digitized by Google

ΕΥΡ. εἶτ' ἐν τραγῳδίαις ἐχρῆν κἀλεκτρυόνα ποιῆσαι;
ΑΙΣ. σὺ δ', ὦ θεοῖσιν ἐχθρέ, ποῖ' ἄττ' ἐστὶν ἅττ' ἐ-
ποίεις; 936
ΕΥΡ. οὐχ ἱππαλεκτρυόνας μὰ Δί' οὐδὲ τραγελάφους, ἅπερ σύ,
ἂν τοῖσι παραπετάσμασιν τοῖς Μηδικοῖς γρά-
φουσιν.
ἀλλ' ὡς παρέλαβον τὴν τέχνην παρὰ σοῦ τὸ πρῶ-
τον εὐθύς
οἰδοῦσαν ὑπὸ κομπασμάτων καὶ ῥημάτων ἐπαι-
χθῶν, 940
ἴσχνανα μὲν πρώτιστον αὐτὴν καὶ τὸ βάρος ἀφεῖλον
ἐπυλλίοις καὶ περιπάτοις καὶ τευτλίοισι λευκοῖς,
χυλὸν διδοὺς στωμυλμάτων, ἀπὸ βιβλίων ἀπη-
θῶν·
εἶτ' ἀνέτρεφον μονῳδίαις, Κηφισοφῶντα μιγνύς·
εἶτ' οὐκ ἐλήρουν ὅ τι τύχοιμ' οὐδ' ἐμπεσὼν ἔφυρον,
ἀλλ' οὐξιὼν πρώτιστα μέν μοι τὸ γένος εἶπ' ἂν εὐθύς 946
τοῦ δράματος. ΔΙΟ. κρεῖττον γὰρ ἦν σοι νὴ Δί' ἢ τὸ σαυτοῦ.
ΕΥΡ. ἔπειτ' ἀπὸ τῶν πρώτων ἐπῶν οὐδὲν παρῆκ' ἂν ἀργόν,
ἀλλ' ἔλεγεν ἡ γυνή τέ μοι χὠ δοῦλος οὐδὲν ἧττον
χὠ δεσπότης χἠ παρθένος χἠ γραῦς ἄν. ΑΙΣ. εἶτα δῆτα 950
οὐκ ἀποθανεῖν σε ταῦτ' ἐχρῆν τολμῶντα; ΕΥΡ. μὰ τὸν Ἀπόλλω·
δημοκρατικὸν γὰρ αὖτ' ἔδρων. ΔΙΟ. τοῦτο μὲν ἔασον, ὦ τάν·

Digitized by Google

οὐ σοὶ γάρ ἐστι περίπατος κάλλιστα περί γε τούτου.

ΕΥΡ. ἔπειτα τουτουσὶ λαλεῖν ἐδίδαξα ΑΙΣ. φημὶ κἀγώ.
ὡς πρὶν διδάξαι γ' ὤφελες μέσος διαρραγῆναι. 955

ΕΥΡ. λεπτῶν τε κανόνων εἰσβολὰς ἐπῶν τε γωνιασμούς,
νοεῖν, ὁρᾶν, ξυνιέναι, στρέφειν, ἐρᾶν, τεχνάζειν,
κἀχ' ὑποτοπεῖσθαι, περινοεῖν ἅπαντα, ΑΙΣ. φημὶ κἀγώ.

ΕΥΡ. οἰκεῖα πράγματ' εἰσάγων, οἷς χρώμεθ', οἷς ξύνεσμεν,
ἐξ ὧν γ' ἂν ἐξηλεγχόμην· ξυνειδότες γὰρ οὗτοι
ἤλεγχον ἄν μου τὴν τέχνην· ἀλλ' οὐκ ἐκμπολάκουν 961
ἀπὸ τοῦ φρονεῖν ἀποσπάσας, οὐδ' ἐξέπληττον αὐτούς
Κύκνους ποιῶν καὶ Μέμνονας κωδωνοφαλαροπώλους.
γνώσει δὲ τοὺς τούτου τε κἀμοὺς ἑκατέρου μαθητάς· 964
τουτουμενὶ Φορμίσιος Μεγαίνετός θ' ὁ Μανῆς,
σαλπιγγολογχυπηνάδαι, σαρκασμοπιτυοκάμπται,
οὐμοὶ δὲ Κλειτοφῶν τε καὶ Θηραμένης ὁ κομψός.

ΔΙΟ. Θηραμένης; σοφός γ' ἀνὴρ καὶ δεινὸς ἐς τὰ πάντα,
ὃς ἦν κακοῖς που περιπέσῃ καὶ πλησίον παραστῇ,
πέπτωκεν ἔξω τῶν κακῶν οὐ Χῖος, ἀλλὰ Κεῖος.

ΕΥΡ. τοιαῦτα μέντοι 'γὼ φρονεῖν 971
τούτοισιν εἰσηγησάμην,
λογισμὸν ἐνθεὶς τῇ τέχνῃ

---

v. 971—991 systema iambicum.

Digitized by Google

καὶ σκέψιν, ὥστ' ἤδη νοεῖν
ἅπαντα καὶ διειδέναι 975
τά τ' ἄλλα καὶ τὰς οἰκίας
οἰκεῖν ἄμεινον ἢ πρὸ τοῦ
κἀνασκοπεῖν· πῶς τοῦτ' ἔχει;
ποῦ μοι τοδί; τίς τοῦτ' ἔλαβε;

ΔΙΟ. νὴ τοὺς θεούς, νῦν γοῦν Ἀθη- 980
ναίων ἅπας τις εἰσιών
κέκραγε πρὸς τοὺς οἰκέτας
ζητεῖ τε· ποῦ 'στιν ἡ χύτρα;
τίς τὴν κεφαλὴν ἀπεδήδοκεν
τῆς μαινίδος; τὸ τρύβλιον 985
τὸ περυσινὸν τέθνηκέ μοι·
ποῦ τὸ σκόροδον τὸ χθιζινόν;
τίς τῆς ἐλάας παρέτραγεν;
τέως δ' ἀβελτερώτατοι,
κεχηνότες Μαμμάκυθοι, 990
Μελιτίδαι καθῆντο.

Ἀντιστροφή.

ΧΟΡ. τάδε μὲν λεύσσεις, φαίδιμ' Ἀχιλλεῦ·
σὺ δὲ τί, φέρε, πρὸς ταῦτα λέξεις; μόνον ὅπως
μή σ' ὁ θυμὸς δρόμον ἀν' εὐθὺς ἁρπάσας
ἐκτὸς οἴσει τῶν ἐλαῶν· 995
δεινὰ γὰρ κατηγόρηκεν.
ἀλλ' ὅπως, ὦ γεννάδα,
μὴ πρὸς ὀργὴν ἀντιλέξεις,
ἀλλὰ συστείλας, ἄκροισι
χρώμενος τοῖς ἱστίοις, 1000
εἶτα μᾶλλον μᾶλλον ἄξεις καὶ φυλάξεις,
ἡνίκ' ἂν τὸ πνεῦμα λεῖον καὶ καθεστηκὸς λάβῃς.

Digitized by Google

ἀλλ' ὦ πρῶτος τῶν Ἑλλήνων πυργώσας ῥήματα σεμνά
καὶ κοσμήσας τραγικὸν λῆρον, θαρρῶν τὸν κρουνὸν ἀφίει. 1005
ΑΙΣ. θυμοῦμαι μὲν τῇ ξυντυχίᾳ, καί μου τὰ σπλάγχν' ἀγανακτεῖ,
εἰ πρὸς τοῦτον δεῖ μ' ἀντιλέγειν· ἵνα μὴ φάσκῃ δ' ἀπορεῖν με,
ἀπόκριναί μοι· τίνος οὕνεκα χρὴ θαυμάζειν ἄνδρα ποιητήν;
ΕΥΡ. δεξιότητος καὶ νουθεσίας ὅτι βελτίους τε ποιοῦμεν
τοὺς ἀνθρώπους ἐν ταῖς πόλεσιν. ΑΙΣ. ταῦτ' οὖν εἰ μὴ πεποίηκας, 1010
ἀλλ' ἐκ χρηστῶν καὶ γενναίων μοχθηροτάτους ἀπέδειξας,
τί παθεῖν φήσεις ἄξιος εἶναι; ΔΙΟ. τεθνάναι· μὴ τοῦτον ἐρώτα.
ΑΙΣ. σκέψαι τοίνυν οἵους αὐτοὺς παρ' ἐμοῦ παρεδέξατο πρῶπον,
εἰ γενναίους καὶ τετραπήχεις καὶ μὴ διαδρασιπολίτας
μηδ' ἀγοραίους μηδὲ κοβάλους, ὥσπερ νῦν, μηδὲ πανούργους, 1015
ἀλλὰ πνέοντας δόρυ καὶ λόγχας καὶ λευκολόφους τρυφαλείας
καὶ πήληκας καὶ κνημῖδας καὶ θυμοὺς ἐπταβοείους.

---

v. 1004—1061 tetrametri anapaestici catalectici.

Digitized by Google

ΕΥΡ. καὶ δὴ χωρεῖ τουτὶ τὸ κακόν· κρανοποιῶν αὖ μ' ἐπιτρίψει.
καὶ τί σὺ δράσας οὕτως αὐτοὺς γενναίους ἐξεδίδαξας;
ΔΙΟ. Αἰσχύλε, λέξον μηδ' αὐθαδῶς σεμνυνόμενος χαλέπαινε. 1020
ΑΙΣ. δρᾶμα ποιήσας Ἄρεως μεστόν. ΔΙΟ. ποῖον; ΑΙΣ. τοὺς Ἑπτ' ἐπὶ Θήβας·
ὃ θεασάμενος πᾶς ἄν τις ἀνὴρ ἠράσθη δάϊος εἶναι.
ΔΙΟ. τουτὶ μέν σοι κακὸν εἴργασται· Θηβαίους γὰρ πεποίηκας
ἀνδρειοτέρους εἰς τὸν πόλεμον· καὶ τούτου γ' εἵνεκα τύπτου.
ΑΙΣ. ἀλλ' ὑμῖν αὖτ' ἐξῆν ἀσκεῖν, ἀλλ' οὐκ ἐπὶ τοῦτ ἐτράπεσθε. 1025
εἶτα διδάξας Πέρσας μετὰ τοῦτ' ἐπιθυμεῖν ἐξεδίδαξα
νικᾶν ἀεὶ τοὺς ἀντιπάλους, κοσμήσας ἔργον ἄριστον.
ΔΙΟ. ἐχάρην γοῦν, ἡνίκα * φάσμ' ἐπέρα Δαρείου τοῦ τεθνεῶτος,
ὁ χορὸς δ' εὐθὺς τὼ χεῖρ' ὠδὶ συγκρούσας εἶπεν ἰαυοῖ.
ΑΙΣ. ταῦτα γὰρ ἄνδρας χρὴ ποιητὰς ἀσκεῖν. σκέψαι γὰρ ἀπ' ἀρχῆς, 1030
ὡς ὠφέλιμοι τῶν ποιητῶν οἱ γενναῖοι γεγένηνται.
Ὀρφεὺς μὲν γὰρ τελετάς θ' ἡμῖν κατέδειξε φόνων τ' ἀπέχεσθαι,
Μουσαῖος δ' ἐξακέσεις τε νόσων καὶ χρησμούς, Ἡσίοδος δέ

Digitized by Google

γῆς ἐργασίας, καρπῶν ὥρας, ἀρότους· ὁ δὲ θεῖος Ὅμηρος
ἀπὸ τοῦ τιμὴν καὶ κλέος ἔσχεν πλὴν τοῦδ' ὅτι χρήστ' ἐδίδαξε, 1035
τάξεις, ἀρετάς, ὁπλίσεις ἀνδρῶν; ΔΙΟ. καὶ μὴν οὐ Παντακλέα γε
ἐδίδαξεν ὅμως τὸν σκαιότατον· πρώην γοῦν, ἡνίκ' ἔπεμπεν,
τὸ κράνος πρῶτον περιδησάμενος τὸν λόφον ἤμελλ' ἐπιδήσειν.

ΔΙΣ. ἀλλ' ἄλλους τοι πολλοὺς ἀγαθούς, ὧν ἦν καὶ Λάμαχος ἥρως·
ὅθεν ἡ 'μὴ φρὴν ἀπομαξαμένη πολλὰς ἀρετὰς ἐποίησεν 1040
Πατρόκλων, Τεύκρων θυμολεόντων, ἵν' ἐπαίροιμ' ἄνδρα πολίτην
ἀντεκτείνειν αὐτὸν τούτοις, ὁπόταν σάλπιγγος ἀκούσῃ.
ἀλλ' οὐ μὰ Δί' οὐ Φαίδρας ἐποίουν πόρνας οὐδὲ Σθενεβοίας,
οὐδ' οἶδ' οὐδεὶς ἥντιν' ἐρῶσαν πώποτ' ἐποίησα γυναῖκα.

ΕΥΡ. μὰ Δί', οὐδὲ γὰρ ἦν τῆς Ἀφροδίτης οὐδέν σοι.
ΔΙΣ. μηδέ γ' ἐπεί η. 1045
ἀλλ' ἐπὶ σοί τοι καὶ τοῖς σοῖσιν πολλὴ πολλοῦ 'πικαθῆτο,
ὥστε γε καὐτόν σε κατ' οὖν ἔβαλεν. ΔΙΟ. νὴ τὸν Δία τοῦτό γέ τοι δή.
ἃ γὰρ ἐς τὰς ἀλλοτρίας ἐποίεις, αὐτὸς τούτοισιν ἐπλήγης.

Digitized by Google

ΕΥΡ. καὶ τί βλάπτουσ', ὦ σχέτλι' ἀνδρῶν, τὴν πόλιν ἁμαὶ Σθενέβοιαι;
ΑΙΣ. ὅτι γενναίας καὶ γενναίων ἀνδρῶν ἀλόχους ἀνέπεισας 1050
κώνεια πιεῖν, αἰσχυνθείσας διὰ τοὺς σοὺς Βελλεροφόντας.
ΕΥΡ. πότερον δ' οὐκ ὄντα λόγον τοῦτον περὶ τῆς Φαίδρας ξυνέθηκα;
ΑΙΣ. μὰ Δί', ἀλλ' ὄντ'· ἀλλ' ἀποκρύπτειν χρὴ τὸ πονηρὸν τόν γε ποιητήν
καὶ μὴ παράγειν μηδὲ διδάσκειν. τοῖς μὲν γὰρ παιδαρίοισιν
ἔστι διδάσκαλος ὅστις φράζει, τοῖς ἡβῶσιν δὲ ποιηταί. 1055
πάνυ δὴ δεῖ χρηστὰ λέγειν ἡμᾶς. ΕΥΡ. ἦν οὖν σὺ λέγῃς Λυκαβηττούς
καὶ Παρνασῶν ἡμῖν μεγέθη, τοῦτ' ἔστι τὸ χρηστὰ διδάσκειν,
ὃν χρῆν φράζειν ἀνθρωπείως; ΑΙΣ. ἀλλ' ὦ κακόδαιμον, ἀνάγκη
μεγάλων γνωμῶν καὶ διανοιῶν ἴσα καὶ τὰ ῥήματα τίκτειν.
κἄλλως εἰκὸς τοὺς ἡμιθέους τοῖς ῥήμασι μείζοσι χρῆσθαι· 1060
καὶ γὰρ τοῖς ἱματίοις ἡμῶν χρῶνται πολὺ σεμνοτέροισιν.

(Omisi episodii quinti partem extremam, qua fabulas Euripideas, quoniam ad depravandos plus quam ad corrigendos adulescentium maxime mores valuerint, Aeschylus carpere pergit.)

* * *

Digitized by Google

Canticum [v. 1099—1118], *Ἐπεισόδιον ϛ'* [v. 1119—1250].

Στρ.

ΧΟΡ. *μέγα τὸ πρᾶγμα, πολὺ τὸ νεῖκος, ἁδρὸς ὁ πόλεμος ἔρχεται.*
χαλεπὸν οὖν ἔργον διαιρεῖν, 1100
ὅταν ὁ μὲν τείνῃ βιαίως,
ὁ δ' ἐπαναστρέφειν δύνηται κἀπερείδεσθαι τορῶς.
ἀλλὰ μὴ 'ν ταὐτῷ κάθησθον·
εἰσβολαὶ γάρ εἰσι πολλαὶ χἄτεραι σοφισμάτων.
ὅ τι περ οὖν ἔχετον ἐρίζειν, 1105
*λέγετον, ἔπιτον, * ἀνὰ δ' ἔρεσθον*
τά τε παλαιὰ καὶ τὰ καινά
κἀποκινδυνεύετον λεπτόν τι καὶ σοφὸν λέγειν.

Ἀντιστρ.

εἰ δὲ τοῦτο καταφοβεῖσθον, μή τις ἀμαθία προσῇ
τοῖς θεωμένοισιν, ὡς τά 1110
λεπτὰ μὴ γνῶναι λεγόντοιν,
μηδὲν ὀρρωδεῖτε τοῦθ'· ὡς οὐκέθ' οὕτω ταῦτ' ἔχει.
ἐστρατευμένοι γάρ εἰσι,
βιβλίον τ' ἔχων ἕκαστος μανθάνει τὰ δεξιά·
αἱ φύσεις τ' ἄλλως κράτισται, 1115
νῦν δὲ καὶ παρηκόνηνται.
μηδὲν οὖν δείσητον, ἀλλά
πάντ' ἐπέξιτον, θεατῶν γ' οὕνεχ', ὡς ὄντων σοφῶν.

Stropha v. 1099—1108 = Antistr. v. 1109—1118.
Versus trochaici partim dimetri acatal. partim tetram. catal.

Digitized by Google

ΕΥΡ. καὶ μὴν ἐπ' αὐτοὺς τοὺς προλόγους σου τρέψομαι,
ὅπως τὸ πρῶτον τῆς τραγῳδίας μέρος 1120
πρώτιστον αὐτοῦ βασανιῶ τοῦ δεξιοῦ.
[ἀσαφὴς γὰρ ἦν ἐν τῇ φράσει τῶν πραγμάτων.]
ΔΙΟ. καὶ ποῖον αὐτοῦ βασανιεῖς; ΕΥΡ. πολλοὺς πάνυ.
πρῶτον δέ μοι τὸν ἐξ Ὀρεστείας λέγε.
ΔΙΟ. ἄγε δὴ σιώπα πᾶς ἀνήρ. λέγ', Αἰσχύλε. 1125
ΑΙΣ. Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη,
σωτὴρ γενοῦ μοι σύμμαχός τ' αἰτουμένῳ·
ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι.
τούτων ἔχεις ψέγειν τι; ΕΥΡ. πλεῖν ἢ δώδεκα.
ΑΙΣ. ἀλλ' οὐδὲ πάντα ταῦτά γ' ἔστ' ἀλλ' ἢ τρία. 1130
ΕΥΡ. ἔχει δ' ἕκαστον εἴκοσίν γ' ἁμαρτίας.
ΑΙΣ. ὁρᾷς ὅτι ληρεῖς; ἀλλ' ὀλίγον γέ μοι μέλει.
ΔΙΟ. Αἰσχύλε, παραινῶ σοι σιωπᾶν· εἰ δὲ μή,
πρὸς τρισὶν ἰαμβείοισι προσοφείλων φανεῖ.
ΑΙΣ. ἐγὼ σιωπῶ τῷδ'; ΔΙΟ. ἐὰν πείθῃ γ' ἐμοί. 1135
ΕΥΡ. εὐθὺς γὰρ ἡμάρτηκεν οὐράνιον ὅσον.
ΑΙΣ. πῶς φῄς μ' ἁμαρτεῖν; ΕΥΡ. αὖθις ἐξ ἀρχῆς λέγε.
ΑΙΣ. Ἑρμῆ χθόνιε, πατρῷ' ἐποπτεύων κράτη.
ΕΥΡ. οὔκουν Ὀρέστης τοῦτ' ἐπὶ τῷ τύμβῳ λέγει
τῷ τοῦ πατρὸς τεθνεῶτος; ΑΙΣ. οὐκ ἄλλως λέγω.
ΕΥΡ. πότερ' οὖν τὸν Ἑρμῆν, ὡς ὁ πατὴρ ἀπώλετο 1141
αὐτοῦ βιαίως ἐκ γυναικείας χερός
δόλοις λαθραίοις, ταῦτ' ἐποπτεύειν ἔφη;
ΑΙΣ. οὐ δῆτ' ἐκεῖνος, ἀλλὰ τὸν ἐριούνιον
Ἑρμῆν χθόνιον προσεῖπε, κἀδήλου λέγων 1145
ὁτιὴ πατρῷον τοῦτο κέκτηται γέρας.
ΕΥΡ. ἔτι μεῖζον ἐξήμαρτες ἢ 'γὼ 'βουλόμην·
εἰ γὰρ πατρῷον τὸ χθόνιον ἔχει γέρας,

Digitized by Google

ΔΙΟ. οὕτως ἂν εἴη πρὸς πατρὸς τυμβωρύχος.
ΑΙΣ. Διόνυσε, πίνεις οἶνον οὐκ ἀνθοσμίαν. 1150
ΔΙΟ. λέγ' ἕτερον αὐτῷ· σὺ δ' ἐπιτήρει τὸ βλάβος.
ΑΙΣ. σωτὴρ γενοῦ μοι σύμμαχός τ' αἰτουμένῳ·
ἥκω γὰρ ἐς γῆν τήνδε καὶ κατέρχομαι.
ΕΥΡ. δὶς ταὐτὸν ἡμῖν εἶπεν ὁ σοφὸς Αἰσχύλος.
ΔΙΟ. πῶς δίς; ΕΥΡ. σκόπει τὸ ῥῆμ'· ἐγὼ δέ σοι φράσω. 1155
ἥκω γὰρ ἐς γῆν, φησί, καὶ κατέρχομαι·
ἥκω δὲ ταὐτόν ἐστι τῷ κατέρχομαι.
ΔΙΟ. νὴ τὸν Δί', ὥσπερ γ' εἴ τις εἴποι γείτονι·
χρῆσον σὺ μάκτραν, εἰ δὲ βούλει, κάρδοπον.
ΑΙΣ. οὐ δῆτα τοῦτό γ', ὦ κατεστωμυλμένε 1160
ἄνθρωπε, ταῦτ' ἔστ', ἀλλ' ἄριστ' ἐπῶν ἔχον.
ΔΙΟ. πῶς δή; δίδαξον γάρ με καθ' ὅ τι δὴ λέγεις.
ΑΙΣ. ἥκειν μὲν εἰς γῆν ἔσθ' ὅτῳ μετῇ πάτρας·
χωρὶς γὰρ ἄλλης συμφορᾶς ἐλήλυθεν·
φεύγων δ' ἀνὴρ ἥκει τε καὶ κατέρχεται. 1165
ΔΙΟ. εὖ νὴ τὸν Ἀπόλλω. τί σὺ λέγεις, Εὐριπίδη;
ΕΥΡ. οὔ φημι τὸν Ὀρέστην κατελθεῖν οἴκαδε·
λάθρᾳ γὰρ ἦλθεν, οὐ πιθὼν τοὺς κυρίους.
ΔΙΟ. εὖ νὴ τὸν Ἑρμῆν· ὅ τι λέγεις δ' οὐ μανθάνω.
ΕΥΡ. πέραινε τοίνυν ἕτερον. ΔΙΟ. ἴθι πέραινε σύ, 1170
Αἰσχύλ', ἀνύσας· σὺ δ' εἰς τὸ κακὸν ἀπόβλεπε.
ΑΙΣ. τύμβου δ' ἐπ' ὄχθῳ τῷδε κηρύσσω πατρί
κλύειν, ἀκοῦσαι. ΕΥΡ. τοῦθ' ἕτερον αὖ δὶς λέγει,
κλύειν, ἀκοῦσαι, ταὐτὸν ὂν σαφέστατα.
ΔΙΟ. τεθνηκόσιν γὰρ ἔλεγεν, ὦ μοχθηρὲ σύ, 1175
οἷς οὐδὲ τρὶς λέγοντες ἐξικνούμεθα.

Digitized by Google

ΔΙΣ. σὺ δὲ πῶς ἐποίεις τοὺς προλόγους; ΕΥΡ. ἐγὼ φράσω·
κἄν που δὶς εἴπω ταὐτόν, ἢ στοιβὴν ἴδῃς
ἐνοῦσαν ἔξω τοῦ λόγου, κατάπτυσον.
ΔΙΟ. ἴθι δὴ λέγ'· οὐ γάρ μοί 'στιν ἀλλ' ἀκουστέα 1180
τῶν σῶν προλόγων τῆς ὀρθότητος τῶν ἐπῶν.
ΕΥΡ. ἦν Οἰδίπους τὸ πρῶτον εὐδαίμων ἀνήρ,
ΔΙΣ. μὰ τὸν Δί' οὐ δῆτ', ἀλλὰ κακοδαίμων φύσει·
ὅντινά γε, πρὶν φῦναι μέν, Ἀπόλλων ἔφη
ἀποκτενεῖν τὸν πατέρα, πρὶν καὶ γεγονέναι, 1185
πῶς οὗτος ἦν τὸ πρῶτον εὐδαίμων ἀνήρ;
ΕΥΡ. εἶτ' ἐγένετ' αὖθις ἀθλιώτατος βροτῶν.
ΔΙΣ. μὰ τὸν Δί' οὐ δῆτ', οὐ μὲν οὖν ἐπαύσατο.
πῶς γάρ; ὅτε δὴ πρῶτον μὲν αὐτὸν γενόμενον
χειμῶνος ὄντος ἐξέθεσαν ἐν ὀστράκῳ, 1190
ἵνα μὴ 'κτραφεὶς γένοιτο τοῦ πατρὸς φονεύς·
εἶθ' ὡς Πόλυβον ἤρρησεν οἰδῶν τὼ πόδε·
ἔπειτα γραῦν ἔγημεν αὐτὸς ὢν νέος
καὶ πρός γε τούτοις τὴν ἑαυτοῦ μητέρα·
εἶτ' ἐξετύφλωσεν αὑτόν. ΔΙΟ. εὐδαίμων ἄρ' ἦν,
εἰ κἀστρατήγησέν γε μετ' Ἐρασινίδου. 1196
ΕΥΡ. ληρεῖς· ἐγὼ δὲ τοὺς προλόγους καλῶς ποιῶ.
ΔΙΣ. καὶ μὴν μὰ τὸν Δί' οὐ κατ' ἔπος γέ σου κνίσω
τὸ ῥῆμ' ἕκαστον, ἀλλὰ σὺν τοῖσιν θεοῖς
ἀπὸ ληκυθίου σου τοὺς προλόγους διαφθερῶ. 1200
ΕΥΡ. ἀπὸ ληκυθίου σὺ τοὺς ἐμούς; ΔΙΣ. ἑνὸς μόνου.
ποιεῖς γὰρ οὕτως ὥστ' ἐναρμόττειν ἅπαν,
καὶ κωδάριον καὶ ληκύθιον καὶ † θυλάκιον,
ἐν τοῖς ἰαμβείοισι. δείξω δ' αὐτίκα.

Digitized by Google

ΕΥΡ. ἰδού, σὺ δείξεις; ΔΙΣ. φημί. ΔΙΟ. καὶ δὴ χρὴ λέγειν. 1205
ΕΥΡ. Αἴγυπτος, ὡς ὁ πλεῖστος ἔσπαρται λόγος,
ξὺν παισὶ πεντήκοντα ναυτίλῳ πλάτῃ
Ἄργος κατασχὼν ΔΙΣ. ληκύθιον ἀπώλεσεν.
ΔΙΟ. τουτὶ τί ἦν τὸ ληκύθιον; οὐ κλαύσεται;
λέγ' ἕτερον αὐτῷ πρόλογον, ἵνα καὶ γνῶ πάλιν.
ΕΥΡ. Διόνυσος, ὃς θύρσοισι καὶ νεβρῶν δοραῖς 1211
καθαπτὸς ἐν πεύκαισι Παρνασὸν κάτα
πηδᾷ χορεύων, ΔΙΣ. ληκύθιον ἀπώλεσεν.
ΔΙΟ. οἴμοι, πεπλήγμεθ' αὖθις ὑπὸ τῆς ληκύθου.
ΕΥΡ. ἀλλ' οὐδὲν ἔσται πρᾶγμα· πρὸς γὰρ τουτονί 1215
τὸν πρόλογον οὐχ ἕξει προσάψαι λήκυθον.
οὐκ ἔστιν ὅστις πάντ' ἀνὴρ εὐδαιμονεῖ·
ἢ γὰρ πεφυκὼς ἐσθλὸς οὐκ ἔχει βίον,
ἢ δυσγενὴς ὢν ΔΙΣ. ληκύθιον ἀπώλεσεν.
ΔΙΟ. Εὐριπίδη, ΕΥΡ. τί ἔσθ'; ΔΙΟ. ὑφέσθαι μοι δοκεῖ· 1220
τὸ ληκύθιον γὰρ τοῦτο πνευσεῖται πολύ.
ΕΥΡ. οὐδ' ἂν μὰ τὴν Δήμητρα φροντίσαιμί γε·
νυνὶ γὰρ αὐτοῦ τοῦτό γ' ἐκκεκόψεται.
ΔΙΟ. ἴθι δὴ λέγ' ἕτερον κἀπέχου τῆς ληκύθου.
ΕΥΡ. Σιδώνιόν ποτ' ἄστυ Κάδμος ἐκλιπὼν 1225
Ἀγήνορος παῖς ΔΙΣ. ληκύθιον ἀπώλεσεν.
ΔΙΟ. ὦ δαιμόνι' ἀνδρῶν, ἀποπρίω τὴν λήκυθον,
ἵνα μὴ διακναίσῃ τοὺς προλόγους ἡμῶν. ΕΥΡ. τὸ τί;
ἐγὼ πρίωμαι τῷδ'; ΔΙΟ. ἐὰν πείθῃ γ' ἐμοί.
ΕΥΡ. οὐ δῆτ', ἐπεὶ πολλοὺς προλόγους ἔξω λέγειν, 1230
ἵν' οὗτος οὐχ ἕξει προσάψαι λήκυθον.

Digitized by Google

Πέλοψ ὁ Ταντάλειος εἰς Πῖσαν μολὼν
θοαῖσιν ἵπποις ΑΙΣ. ληκύθιον ἀπώλεσεν.
ΔΙΟ. ὁρᾷς, προσῆψεν αὖθις αὖ τὴν ληκυθον.
ἀλλ', ὦ 'γάθ', ἔτι καὶ νῦν ἀπόδος πάσῃ τέχνῃ· 1235
λήψει γὰρ ὀβολοῦ πάνυ καλήν τε κἀγαθήν.
ΕΥΡ. μὰ τὸν Δί' οὔπω γ'· ἔτι γάρ εἰσί μοι συχνοί.
Οἰνεύς ποτ' ἐκ γῆς ΑΙΣ. ληκύθιον ἀπώλεσεν.
ΕΥΡ. ἔασον εἰπεῖν πρῶθ' ὅλον με τὸν στίχον.
Οἰνεύς ποτ' ἐκ γῆς πολύμετρον λαβὼν στάχυν,
θύων ἀπαρχὰς ΑΙΣ. ληκύθιον ἀπώλεσεν. 1241
ΔΙΟ. μεταξὺ θύων; καὶ τίς αὖθ' ὑφείλετο;
ΕΥΡ. ἔα αὐτόν, ὦ τάν· πρὸς τοδὶ γὰρ εἰπάτω.
Ζεύς, ὡς λέλεκται τῆς ἀληθείας ὕπο,
ΔΙΟ. ἀπολεῖ σ'· ἐρεῖ γάρ, ληκύθιον ἀπώλεσεν. 1245
τὸ ληκύθιον γὰρ τοῦτ' ἐπὶ τοῖς προλόγοισί σου
ὥσπερ τὰ σῦκ' ἐπὶ τοῖσιν ὀφθαλμοῖς ἔφυ.
ἀλλ' ἐς τὰ μέλη πρὸς τῶν θεῶν αὐτοῦ τραποῦ.
ΕΥΡ. καὶ μὴν ἔχω γ' ὡς αὐτὸν ἀποδείξω κακόν
μελοποιὸν ὄντα καὶ ποιοῦντα ταῦτ' ἀεί. 1250

Canticum [v. 1251—1260], *Ἐπεισοδίου ζ'* pars prior [v. 1261—1295].

ΧΟΡ. τί ποτε πρᾶγμα γενήσεται;
φροντίζειν γὰρ ἔγωγ' ἔχω,
τίν' ἄρα μέμψιν ἐποίσει
ἀνδρὶ τῷ πολὺ πλεῖστα δή
καὶ κάλλιστα μέλη ποιή- 1255
*σαντι τῶν ἔτι * νυνί.*

---

v. 1251—1260 sunt partim glyconei (⏑̄ ⏑̄ – ⏑⏑ – ⏑ –) partim pherecratei (⏑̄ ⏑̄ – ⏑⏑ – ⏑̄).

Digitized by Google

θαυμάζω γὰρ ἔγωγ' ὅπῃ
μέμψεταί ποτε τοῦτον
τὸν βακχεῖον ἄνακτα
καὶ δέδοιχ' ὑπὲρ αὐτοῦ. 1260

ΕΥΡ. πάνυ γε μέλη θαυμαστά· δείξει δὴ τάχα.
εἰς ἓν γὰρ αὐτοῦ πάντα τὰ μέλη ξυντεμῶ.

ΔΙΟ. καὶ μὴν λογιοῦμαι ταῦτα τῶν ψήφων λαβών.

ΕΥΡ. Φθιῶτ' Ἀχιλλεῦ, τί ποτ' ἀνδροδαΐκτον ἀκούων,
ἰή, κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν; 1265
Ἑρμᾶν μὲν πρόγονον τίομεν γένος οἱ περὶ λίμναν.
ἰή, κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;

ΔΙΟ. δύο σοι κόπω, Αἰσχύλε, τούτω.

ΕΥΡ. κύδιστ' Ἀχαιῶν, Ἀτρέως πολυκοίρανε μάνθανέ μου παῖ. 1270
ἰή, κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;

ΔΙΟ. τρίτος, Αἰσχύλε, σοὶ κόπος οὗτος.

ΕΥΡ. εὐφαμεῖτε· μελισσονόμοι δόμον Ἀρτέμιδος πέλας οἴγειν.
ἰή, κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν; 1275
κύριός εἰμι θροεῖν ὅδιον κράτος αἴσιον ἀνδρῶν.
ἰή, κόπον οὐ πελάθεις ἐπ' ἀρωγάν;

ΔΙΟ. ὦ Ζεῦ βασιλεῦ, τὸ χρῆμα τῶν κόπων ὅσον.

---

v. 1264 ia ⏑̄ – ⏑ ⏑̣ – ⏑̆ – ⏑̆ – ⏑̆ ⏑̣ –, eosdem numeros exhibent v. 1285 et v. 1291.

v. 1265 ia ⏑ – ⏑̆ – ⏑̆ – ⏑̆ ⏑̣ – = v. 1267 = v. 1271 = v. 1275 = v. 1277.

v. 1266 hexameter dactylicus, item v. 1276.

v. 1268 dimeter anapaesticus catalecticus, item v. 1272.

v. 1270 ia – – ⏑ ⏑̣ – ⏑̆ – ⏑̆ – ⏑̆ – ⏑̆ ⏑̣ –

v. 1274 d – – – ⏑̆ – ⏑̆ – ⏑̆ – ⏑̆ – ⏑̆ – –

Digitized by Google

ἐγὼ μὲν οὖν εἰς τὸ βαλανεῖον βούλομαι·
ὑπὸ τῶν κόπων γὰρ τῷ νεφρῷ βουβωνιῶ. 1280
ΕΥΡ. μή, πρίν γ' ἀκούσῃς χἀτέραν στάσιν μελῶν
ἐκ τῶν κιθαρῳδικῶν νόμων εἰργασμένην.
ΔΙΟ. ἴθι δὴ πέραινε καὶ κόπον μὴ προστίθει.
ΕΥΡ. ὅπως Ἀχαιῶν δίθρονον κράτος Ἑλλάδος ἥβας, 1285
φλαττοθραττοφλαττόθρατ·
Σφίγγα δυσαμεριᾶν πρύτανιν κύνα πέμπει,
φλαττοθραττοφλαττόθρατ·
σὺν δορὶ καὶ χερὶ πράκτορι θούριος ὄρνις,
φλαττοθραττοφλαττόθρατ· 1290
κυρεῖν παρασχὼν ἱταμαῖς κυσὶν ἀεροφοίτοις,
φλαττοθραττοφλαττόθρατ·
† τὸ συγκλινὲς ἐπ' Αἴαντι,
φλαττοθραττοφλαττόθρατ.

III. Menander.

Μένανδρος, Atheniensis (*Κηφισιεύς*) natus est anno 342 a. Chr. forte eodem tempore atque Epicurus philosophus, quocum post artam familiaritatem contraxit. Pater *Διοπείθης*, imperator Atheniensium, ab Demosthene defensus est oratione quam a. 341 habuit de rebus in Chersoneso actis. Obiit M. anno aetatis quinquagesimo altero, 290 a. Chr. Sepulcrum eius vidit Pausanias situm iuxta cenotaphium Euripidis ad viam, quae a Piraeeo Athenas ferebat. — Nobilissimus novae comoediae auctor certaminibus scaenicis contendit imprimis cum

---

v. 1286 dimeter trochaicus catalecticus = v. 1288 = v. 1290 = v. 1292 = v. 1294.
v. 1287 pentameter dactyl. catal. in bisyllabum, item v. 1289.
v. 1293 dimeter iambicus catalecticus.

Digitized by Google

Philemone, qui nec ingenio nec arte aemulo par ambitu ac factionibus Menandrum saepenumero vicisse fertur. Scripsit plus centum fabulas, quarum nullam habemus superstitem: quamquam P. Terentii comoediae *Andria, Eunuchus, Heauton timorumenos, Hecyra, Adelphi* exempla Graeca multis locis ad verbum expressa exhibent. Quae Menandri nomine feruntur *γνῶμαι μονόστιχοι* non omnes fluxere ex poetae comici fabulis, sed selectas variorum scriptorum sententias comprehendunt, quae secundum litterarum ordinem dispositae sunt.

ΓΝΩΜΑΙ ΜΟΝΟΣΤΙΧΟΙ.

Ἃ ψέγομεν ἡμεῖς, ταῦτα μὴ μιμώμεθα.
Ἄγει δὲ πρὸς φῶς τὴν ἀλήθειαν χρόνος.
Ἀφεὶς τὰ φανερὰ μὴ δίωκε τἀφανῆ.
Ἀνὴρ πονηρὸς δυστυχεῖ, κἂν εὐτυχῇ.
Ἀνδρῶν δὲ φαύλων ὅρκον εἰς ὕδωρ γράφε. 5
Ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι.
Αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς φρενῶν.
Ἀνὴρ ἄβουλος εἰς κενὸν μοχθεῖ τρέχων.
Ἆρ' ἐστὶ συγγενές τι λύπη καὶ βίος.
Ἄκουε πάντων, ἐκλέγου δ' ἃ συμφέρει. 10
Βιοῖ μὲν οὐδεὶς ὃν προαιρεῖται βίον.
Βίος βίου δεόμενος οὐκ ἔστιν βίος.
Βλέπων πεπαίδευμ' εἰς τὰ τῶν πέλας κακά.
Γλώσσης μάλιστα πανταχῇ πειρῶ κρατεῖν.
Γῆ πάντα τίκτει καὶ πάλιν κομίζεται. 15
Γελᾷ δ' ὁ μῶρος, κἂν τι μὴ γέλοιον ᾖ.
Γέλως τὰ σεμνὰ τοῦ βίου τοῖς σώφροσιν.
Δὶς ἐξαμαρτεῖν ταὐτὸν οὐκ ἀνδρὸς σοφοῦ.
Δρυὸς πεσούσης πᾶς ἀνὴρ ξυλεύεται.
Εὐχῆς δικαίας οὐκ ἀνήκοος θεός. 20
Ἐκ τῶν πόνων τοι τἀγάθ' αὔξεται βροτοῖς.

Digitized by Google

Ἐχθροὺς ἀμύνου μὴ 'πὶ τῇ σαυτοῦ βλάβῃ.
Εὔτολμος εἶναι κρῖνε, τολμηρὸς δὲ μή.
Ἐχθροῖς ἀπιστῶν οὔποτ' ἂν πάθοις βλάβην.
Εἷς ἐστι δοῦλος οἰκίας, ὁ δεσπότης. 25
Εἰ μὴ φυλάσσεις μίκρ', ἀπολεῖς τὰ μείζονα.
Ἔργοις φιλόπονος ἴσθι, μὴ λόγοις μόνον.
Ἐν γῇ πένεσθαι κρεῖττον ἢ πλουτοῦντα πλεῖν.
Ζήσεις βίον κράτιστον, ἂν θυμοῦ κρατῇς.
Ἢ λέγε τι σιγῆς κρεῖττον ἢ σιγὴν ἔχε. 30
Ἡ φύσις ἁπάντων τῶν διδαγμάτων κρατεῖ.
Θεοὶ μέγιστοι τοῖς φρονοῦσιν οἱ γονεῖς.
Θέλω τύχης σταλαγμὸν ἢ φρενῶν πίθον.
Θεῷ μάχεσθαι δεινόν ἐστι καὶ τύχῃ.
Θεοῖς ὄνειδος τοὺς κακοὺς εὐδαιμονεῖν. 35
Ἱστοὶ γυναικῶν ἔργα κοὐκ ἐκκλησίαι.
Ἰατρὸς ὁ λόγος τοῦ κατὰ ψυχὴν πάθους.
Κακοῖς ὁμιλῶν κἀὐτὸς ἐκβήσῃ κακός.
Καιροῦ τυχὼν κἂν πτωχὸς ἰσχύοι μέγα.
Κατηγορεῖν οὐκ ἔστι καὶ κρίνειν ὁμοῦ. 40
Κακοῦ παρ' ἀνδρὸς δῶρ' ὄνησιν οὐκ ἔχει.
Καὶ ζῶν ὁ φαῦλος καὶ θανὼν κολάζεται.
Κοινὸν τύχη, γνώμη δὲ τῶν κεκτημένων.
Λιμὴν ἀτυχίας ἐστὶν ἀνθρώποις τέχνη.
Λίαν φιλῶν σεαυτὸν οὐχ ἕξεις φίλον. 45
Λαβὼν ἀπόδος, ἄνθρωπε, καὶ λήψῃ πάλιν.
Λιμῷ γὰρ οὐδέν ἐστιν ἀντειπεῖν ἔπος.
Μισῶ σοφιστὴν ὅστις οὐχ αὑτῷ σοφός.
Μακάριος ὅστις οὐσίαν καὶ νοῦν ἔχει.
Μηδέποτε πειρῶ δύο φίλων εἶναι κριτής. 50
Μέγ' ἐστὶ κέρδος, ἢν διδάσκεσθαι μάθῃς.

Digitized by Google

Μισῶ πένητα πλουσίῳ δωρούμενον.
Μή μοι γένοιθ' ἃ βούλομ', ἀλλ' ἃ συμφέρει.
Νικᾷ παλαιὰς χάριτας ἡ νέα χάρις.
Ξίφος τιτρώσκει σῶμα, τὸν δὲ νοῦν λόγος. 55
Ξένος ὢν ἀπράγμων ἴσθι καὶ πράξεις καλῶς.
Οὐκ ἔστιν οὐδεὶς ὅστις οὐχ αὑτῷ φίλος.
Ὀργὴ φιλοῦντος μικρὸν ἰσχύει χρόνον.
Οὐκ ἔστι σιγᾶν αἰσχρόν, ἀλλ' εἰκῆ λαλεῖν.
Ὃν οἱ θεοὶ φιλοῦσιν ἀποθνήσκει νέος. 60
Ὁ γραμμάτων ἄπειρος οὐ βλέπει βλέπων.
Οὐκ ἔστιν ὅστις τὴν τύχην οὐ μέμφεται.
Ὁ μὴ δαρεὶς ἄνθρωπος οὐ παιδεύεται.
Πανήγυριν νόμιζε τόνδε τὸν βίον.
Πολλῶν ὁ καιρὸς γίνεται διδάσκαλος. 65
Πᾶσιν γὰρ εὖ φρονοῦσι συμμαχεῖ τύχη.
Πολλοὶ τραπεζῶν, οὐ φίλων εἰσὶν φίλοι.
Πολιὰ χρόνου μήνυσις, οὐ φρονήσεως.
Ῥῆμα παράκαιρον τὸν ὅλον ἀνατρέπει βίον.
Ῥίψας λόγον τις οὐκ ἀναιρεῖται πάλιν. 70
Σοφία γάρ ἐστι καὶ μαθεῖν ἃ μὴ νοεῖς.
Τῆς ἐπιμελείας πάντα δοῦλα γίνεται.
Τὸν εὐτυχοῦντα καὶ φρονεῖν νομίζομεν.
Τῶν εὐτυχούντων πάντες εἰσὶ συγγενεῖς.
Τὰ μηδὲν ὠφελοῦντα μὴ πόνει μάτην. 75
Τῷ γὰρ καλῶς πράσσοντι πᾶσα γῆ πατρίς.
Τύχη τὰ θνητῶν πράγματ', οὐκ εὐβουλία.
Ταὐτόματον ἡμῶν καλλίω βουλεύεται.
Ὑπόνοια δεινόν ἐστιν ἀνθρώποις κακόν.
Ὕπουλος ἀνὴρ δίκτυον κεκρυμμένον. 80
Φιλεῖ δ' ἑαυτοῦ πλεῖον οὐδεὶς οὐδένα.

Digitized by Google

Φίλος φίλου δεόμενος οὐκ ἔστιν φίλος.
Χρόνος δ' ἀμαυροῖ πάντα κεἰς λήθην ἄγει.
Χάριν λαβὼν μέμνησο καὶ δοὺς ἐπιλαθοῦ.
Χειμὼν μεταβάλλει ῥᾳδίως εἰς εὐδίαν. 85
Ὡς μέγα τὸ μικρόν ἐστιν ἐν καιρῷ δοθέν.
Ὦ Ζεῦ, τὸ πάντων κρεῖττόν ἐστι νοῦν ἔχειν.

Digitized by Google

ΕΙΔΥΛΛΙΑ.

Theocritus.

Θεόκριτος, Praxagorae et Philines filius, Syracusanus floruit aetate Ptolomaei Philadelphi (285—246). Instituisse eum feruntur Asclepiades Samius (cfr. supra p. 114), Philetas Cous, quorum laudes poeta „*Σιμιχίδας*“ idyllio, quod *Θαλύσια* inscribitur, egregie celebravit. Amicitiam iunxit cum Nicia, medico Milesio (cfr. idyll. XI 2 cum epigr. 70), nec minus familiariter utebatur Arato Solensi (vid. idyll. VI 2), cuius poemata cum alia tum *Φαινόμενα καὶ Διοσημεῖα* (cfr. epigr. 67) bucolico magnopere videntur placuisse. Alexandream profectus regis Aegypti gratiam iniit; cecinit laudes Philadelphi Arsinoesque, item Hieronis II regis Syracusarum. Sunt qui poetam ex itinere Alexandrino Coum insulam urbemque Miletum adiisse existiment; eundem Magnam Graeciam peragrasse, certe Crotonem Thuriosque vidisse v. d. probabiliter ex ipsius carminibus collegere. — Bucolicorum principis nomine *εἰδύλλια* feruntur triginta: ex his sunt quaedam epica carmina (velut carm. 7), praestantissima vero mimica, quae non omnia ad res pastoricias spectant, sed partim etiam argumenta ex aliis vitae condicionibus petita exhibent. Praeterea composuit Epigrammata (cfr. epigr. 70—73). Aequales propemodum sed ingenio inferiores exstiterunt imitatores Theocriti Bion Smyrnaeus, Moschus Syracusanus.

1. [Idyll. II, v. 1—62.]

ΦΑΡΜΑΚΕΥΤΡΙΑΙ.

Πᾷ μοι ταὶ δάφναι; φέρε, Θεστυλί· πᾷ δὲ τὰ φίλτρα;
στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ,

Digitized by Google

ὡς τὸν ἐμὸν βαρὺν εὖντα φίλον καταδήσομαι ἄνδρα,
ὅς μοι δωδεκαταῖος ἀφ' ὧ τάλας οὐδὲ ποθίκει,
οὐδ' ἔγνω πότερον τεθνάκαμες ἢ ζοοί εἰμες· 5
οὐδὲ θύρας ἄραξεν ἀνάρσιος. ἦ ῥά οἱ ἀλλᾷ
ᾤχετ' ἔχων ὅ τ' Ἔρως ταχινὰς φρένας ἅ τ' Ἀφροδίτα;
βασεῦμαι ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν
αὔριον, ὥς νιν ἴδω καὶ μέμψομαι οἷά με ποιεῖ.
νῦν δέ νιν ἐκ θυέων καταδήσομαι. ἀλλὰ Σελάνα, 10
φαῖνε καλόν· τὶν γὰρ ποταείσομαι, ἄσυχε δαῖμον,
τᾷ χθονίᾳ θ' Ἑκάτᾳ, τὰν καὶ σκύλακες τρομέοντι
ἐρχομέναν νεκύων ἀνά τ' ἠρία καὶ μέλαν αἷμα.
χαῖρ', Ἑκάτα δασπλῆτι, καὶ ἐς τέλος ἄμμιν ὀπάδει
φάρμακα ταῦτ' ἔρδοισα χερείονα μήτε τι Κίρκας 15
μήτε τι Μηδείας μήτε ξανθᾶς Περιμήδας.

ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ἄλφιτά τοι πρᾶτον πυρὶ τάκεται· ἀλλ' ἐπίπασσε,
Θεστυλί. δειλαία, πᾷ τὰς φρένας ἐκπεπότασαι;
ἦ ῥα, γύναι μυσαρά, καὶ τὶν ἐπίχαρμα τέτυγμαι; 20
πάσσ' ἅμα καὶ λέγε ταῦτα· τὰ Δέλφιδος ὀστία πάσσω.

ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Δέλφις ἔμ' ἀνίασεν· ἐγὼ δ' ἐπὶ Δέλφιδι δάφναν
αἴθω· χὠς αὕτα λακεῖ μέγα καππυρίσασα
κἠξαπίνας ἄφθη, κοὐδὲ σποδὸν εἴδομες αὐτᾶς, 25
οὕτω τοι καὶ Δέλφις ἐνὶ φλογὶ σάρκ' ἀμαθύνοι.

ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ὡς τοῦτον τὸν κηρὸν ἐγὼ σὺν δαίμονι τάκω,
ὥς τάκοιθ' ὑπ' ἔρωτος ὁ Μύνδιος αὐτίκα Δέλφις·
χὠς δινεῖθ' ὅδε ῥόμβος ὁ χάλκεος ἐξ Ἀφροδίτας, 30
ὥς τῆνος δινοῖτο ποθ' ἁμετέραισι θύραισιν.

ἴυγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.

Digitized by Google

νῦν θυσῶ τὰ πίτυρα. τὺ δ', Ἄρτεμι, καὶ τὸν ἀναι
κινήσαις κ' ἀδάμαντα καὶ εἴ τί περ ἀσφαλὲς ἄλλο
Θεστυλί, ταὶ κύνες ἄμμιν ἀνὰ πτόλιν ὠρύονται. 30
ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκίον ὡς τάχος ἄχει.
ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ἠνίδε σιγῇ μὲν πόντος, σιγῶντι δ' ἀῆται·
ἁ δ' ἐμὰ οὐ σιγῇ στέρνων ἔντοσθεν ἀνία,
ἀλλ' ἐπὶ τήνῳ πᾶσα καταίθομαι, ὅς με τάλαιναν 40
ἀντὶ γυναικὸς ἔθηκε κακὰν καὶ ἀπάρθενον εἶμεν.
ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ἐς τρὶς ἀποσπένδω καὶ τρὶς τάδε, πότνια, φωνῶ·
εἴτε γυνὰ τήνῳ παρακέκλιται εἴτε καὶ ἀνήρ,
τόσσον ἔχοι λάθας, ὅσσον ποκὰ Θησέα φαντί 45
ἐν Δίᾳ λασθῆμεν ἐϋπλοκάμω Ἀριάδνας.
ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
ἱππομανὲς φυτόν ἐστι παρ' Ἀρκάσι· τῷ δ' ἐπὶ πᾶσαι
καὶ πῶλοι μαίνονται ἀν' ὤρεα καὶ θοαὶ ἵπποι.
ὡς καὶ Δέλφιν ἴδοιμι, καὶ ἐς τόδε δῶμα περάσαι 50
μαινομένῳ ἵκελος λιπαρᾶς ἔκτοσθε παλαίστρας.
ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
τοῦτ' ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις,
ὡγὼ νῦν τίλλοισα κατ' ἀγρίῳ ἐν πυρὶ βάλλω.
αἰαῖ Ἔρως ἀνιαρέ, τί μευ μέλαν ἐκ χροὸς αἷμα 55
ἐμφὺς ὡς λιμνᾶτις ἅπαν ἐκ βδέλλα πέπωκας;
